τῶν βδελλολαρύγγων ἀνεπαγγέλτων αὐτῷ φοιτήσας ἐπὶ δεῖπνον.

Suidas ἀνεπάγγελτος· ἄκλητος. Κρατῖνος Διονυσαλεξάνδρῳ. βδελλολαρύγγων] βδελλοιαρύγγων A. βδελλοφαρύγγων C (at Attici semper φάρυξ, φάρυγος. αὐτῷ] αὐτῶν A. Pollux 6, 12 ἄκλητοι, οὓς ἀνεπαγγέλτους Κρατῖνος καλεῖ. Hesych. ἀνεπάγγελτοι· οἷς οὐ παρηγγέλη ἐπὶ δεῖπνον ἐλθεῖν. ἄκλητοι. Bekker. Anecd. 6, 10 ἀνεπάγγελτος δειπνεῖ· ᾧ οὐδεὶς μὲν ἐπήγγειλεν, ὁ δὲ ἀφικόμενος δειπνεῖ. Meinekius βδελλολαρύγγων ἀνεπαγγέλτων φοιτησάντων ἐπὶ δεῖπνον, simul Cratini versum a Clemente Alex. Paed. 2, 1, 5 ἡ τῶν δείπνων προσηγορία, ἀπὸ τῶν φαρύγων καὶ φοιτητῆς μανίας ἐπὶ δεῖπνον quodammodo expressum esse monens. mihi αὐτῷ (αὐτῶν) ex μέτα corrup-

tum et scribendum videtur *βδ. ἀν. μέτα φοιτήσας ἐπὶ δ.* — *βδελλολάρυγγες* isti gratuitorum conviviorum aucupes dicuntur. cf. Cic. Att. 1, 16, 11 *illa contionalis hirudo aerarii, misera ac ieiuna plebecula.* Hor. A. p. 476.

45

οὐ γάρ τοι σύγε πρῶτος ἄκλητος φοιτᾷς ἐπὶ δεῖπνον ἄνηστις;

Bekk. Anecd. 402, 32 (et 453, 27) *ἄνηστις· ἡ (ὁ) νῆστις, παρὰ Κρατίνῳ ἐν Διονυσαλεξάνδρῳ.* Suidas *ἄνηστις· ὁ* (Meinek. *οὐ*) *γεγευμένος. καὶ ἄνηστις ἡ (ὁ) νῆστις λίαν παρὰ Κρατίνῳ ἐν Διονυσαλεξάνδρῳ.* Athen. 2, 47 a *ἄνηστις ὁ νῆστις πλεονασμῷ τοῦ ᾱ . . . παρὰ Κρατίνῳ κεῖται.* cf. Eustath. 947, 17. Etymol. m. Milleri (Mélanges 37) *ἄνηστις· ἄσιτος. Κρατῖνος· φοιτᾷς ἐπὶ δεῖπνον ἄνηστις. οὐ γάρ τοι σύ γε* Athen.] *ἰοὺ γὰρ σύ γε* Bekk. Anecd. et Suid. *ι* ex *Διονυσαλεξάνδρωι* perperam ad proximam vocem translatum ante Cobetum (Mnem. X 73) Meinekius intellexerat. *ἄκλητος* omittit Athen. non longe hoc a fr. 44 videtur remotum fuisse.

46

χηνοβοσκοί, βουκόλοι

Κρατῖνος ἐν Διονυσαλεξάνδρῳ Athen. 9, 384 b. Paridis conlegae significari videntur.

47

κλίνην τὴν παράπυξον

Pollux 10, 34 *εἴδη δὲ κλίνης ἀργυρόπους, παράπυξος, ὡς ἐν τῷ Διονυσαλεξάνδρῳ Κρατίνου.* et 7, 159 *κλίνην δὲ παράπυξον Κρατῖνος εἶπεν ἐν Διονυσαλεξάνδρῳ.*

48

ἡ γελγόπωλις

ἐν Διονυσαλεξάνδρῳ Κρατίνου. Pollux 7, 198.
Ad hanc comoediam fortasse referenda sunt fragm. 281. 286.

ΔΡΑΠΕΤΙΔΕΣ

Cum in hac fabula Lamponem vatem poeta non praeteriens perstrinxerit, sed praeter ceteros exagitaverit, Lampon autem adiuvante Pericle coloniae Thurios deducendae et auctor et dux fuerit (Arist. Nub. 332. Av. 521 cum interpr., Eupol. 297. Plut. Pericl. 6. Mor. 812 d), hac ipsa re argumentum fabulae contineri titulumque ad illos Athenienses pertinere, qui novarum rerum cupidi Thurios quasi aufugerint, sententia est Bergkii R. c. Att. 46. 61 sq. Meinekius chorum potius ex Sybaritis compositum fuisse arbitratur,

qui frustra Spartiatarum ope inplorata ab Atheniensibus inpetraverint ut colonia Thurios deducta ipsi in patriam restituerentur. eos tamquam ignavos patriae proditores a poeta Periclis consilium inprobante *Δραπέτιδας* et *μείρακας* (fr. 55) adpellari, quod cum homines qui fr. 55 commemorantur, manifesto Atheniensibus ignoti sint, probabilius videtur. quanquam neutra coniectura certa est. si de Thuriis condendis tum ambigebatur, adparet comoediam ante Ol. 84, 1 actam esse.

49

τὸν Κερκυόνα θ' ἕωθεν ἀποπατοῦντ' ἐπὶ
τοῖς λαχάνοις εὑρὼν ἀπέπνιξα.

Bekk. Anecd. 433, 10 *ἀποπάτημα· αὐτὸ τὸ σκύβαλον . . . Κρατῖνος Δραπέτισιν.* Suid. *ἀποπάτημα.* Etym. m. 132, 9, ubi *τὸν Κερκύωνα ἕωθεν ἀποπατῶν* (*Κερκύονα — ἀποπατοῦντ'* D). *λαχάνοις*] *λασάνοις* Meinekius. de versuum discriptione dubitatur. Bekkerus et Meinekius trimetros constituunt, ille *τὸν Κ. τε | ἕωθεν ἀπ. ἐπὶ τ. λ. . . . | εὑρ. ἀπ.*, Meinekius *τὸν Κ. — ἀποπατοῦντ' ἐγώ | ἐπὶ τ. λ. κτλ.* at *ἐπὶ τοῖς λ. εὑρ. ἀπ.* dactylicus cum anacrusi esse potest. — Cercyon Thesei aequalis notissimus. Diodor. 4, 59. Paus. 1, 39, 3. Ovid. Met. 7, 439. Ib. 410. sed quis hic commemoretur Cercyon non constat.

50

δέχεσθε φιάλας τάσδε βαλανειομφάλους.

Athenaeus 11, 501 d *Κρατίνου εἰπόντος ἐν Δραπέτισι· . . . τῶν γὰρ φιαλῶν οἱ ὀμφαλοὶ καὶ τῶν βαλανείων οἱ θόλοι παρόμοιοι· εἰς δὲ τὸ εἶδος οὐκ ἀρρύθμως παίζονται.* Hesych. (ex emend. Kusteri et Meinek.) *βαλανειομφάλους· οὕτω Κρατῖνος ὠνόμασε τὰς ἐχούσας ὀμφαλοὺς ἄνευ προσώπων* ('leonum luporum aliorumve animalium, quibus aliarum phialarum orae ornabantur, Poll. 2, 48' Mein.), *ὁποῖοι οἱ θόλοι ἐν τοῖς βαλανείοις· οἱ δὲ ἀπὸ τῶν ὀμφαλῶν τῶν ἐν τοῖς πυέλοις.* cf. Suid. Bekker. Anecd. 225, 6. Poll. 6, 98 *μεσόμφαλοι δὲ φιάλαι καὶ βαλανειόμφαλοι τὸ σχῆμα προσηγορίαν ἔχουσι.* erant autem 'balnea in alvearium formam orbiculata et superne' habebant 'in media parte emissaria aeneo umbilico aut claudenda aut aperienda. eorum igitur tholorum speciem referebant phialae, eo tamen discrimine, ut tholorum umbilicus in superiore, phialarum autem in inferiore parte promineret'. Meinek.

51

οὗτος, καθεύδεις; Β. οὐκ ἀναστήσεις βοῶν.

Apollonius p. 21 ed. Schneid. *Κρατῖνος ἐν Δραπέτισιν. οὗτος* b] *ουτως* A. *Β. οὐκ ἀναστήσεις βοῶν* Koenius Gregor. Cor. 117]

ουκ αναστησεις βοτων A. οὐκ ἀναστήσει Βάτων Bergk. R. c. Att. 67. 'οὗτος, καθεύδεις; οὐκ ἀναστήσει'; βοῶν, 'quibus verbis nescio quis aliquem ex somno excitat' Cobet. N. l. 18. quae coniectura aptissima videtur. Aesch. Eum. 124 ὤζεις, ὑπνώσσεις. οὐκ ἀναστήσει τάχος; Arist. Ran. 480.

52

οἱ δὲ πυππάζουσι περιτρέχοντες, ὁ δ' ὄνος ὕεται.

Photius et Suidas ὄνος ὕεται· ἐπὶ τῶν μὴ ἐπιστρεφομένων ... Κρατῖνος Δραπέτισιν. Hesychius πυππάζουσι· φωνῇ ποιᾷ χρῶνται. πυππάζειν (cf. quae adnotavi ad Arist. Av. 266) est *mirantem exclamare* πυππάξ, quod exstat Plat. Euthyd. 303 a πυππάξ, ὦ Ἡράκλεις, καλοῦ λόγου. ὑπερπυππάζειν Arist. Eq. 680. ὁ δ' ὄνος ὕεται proverbium est de eis qui quidquid alter facit non commoventur. 'quemadmodum asinus ob cutis duritiem pluvia nihil offenditur.' Erasm. 3, 2, 59. significant autem verba ὁ δ' ὄνος ὕεται idem atque ὁ δ' ὅμοιός ἐστιν ὄνῳ ὑομένῳ (cf. Hom. Od. 6, 131), i. e. τῶν πυππαζόντων οὐδὲν μᾶλλον φροντίζει ἢ ὄνος ὑόμενος τοῦ ὑετοῦ. id quod aptissime dici poterat de homine potenti vel de Demo Atheniensium ipso adulatorum et demagogorum turbam despiciente. cf. Cephisodor. 1 σκώπτεις μ', ἐγὼ δὲ τοῖς λόγοις ὄνος ὕομαι, i. e. *maledictis tuis non tangor.* alia eius breviloquentiae exempla congessit Cobetus Mnem. nov. III 247 (cf. etiam Dobr. Aristoph. Plut. 314) Arist. Lys. 927. Liban. 1, 14, 1 Ἀριστόδημος (potius Ἀριστομένης) . . . ἐτηρούμην ὁ Σύρος ἐγώ. quibus addo ex Romanis Cic. D. orat. 2, 57, 33 *docebo sus, ut aiunt, oratorem* (sus Minervam). Horat. Epist. 1, 2, 42 *qui recte vivendi prorogat horam, rusticus exspectat, dum defluat amnis,* et ex comicis graecis Cratin. 128 ἕκαστος ἀλώπηξ δωροδοκεῖται. 229. 245. Eupol. 261. Arist. fr. 337. Plat. 191. Theopomp. 4. 40. Diocl. 5. cf. Theognid. 1361 ναῦς πέτρῃ προσέκυρσας.

53

φέρε νῦν σοι
ἐξ αἰθρίας καταπυγοσύνην μυὸς ἀστράψω Ξενοφῶντος.

Aelianus H. a. 12, 10 λέγουσι δὲ τοὺς μύας λαγνιστάτους εἶναι, καὶ μάρτυρά γε Κρατῖνον ἐπάγονται ἐν ταῖς Δραπέτισι. Apostol. 9, 28 λέγουσι δὲ αὐτοὺς καὶ λαγνιστάτους εἶναι· καὶ ματρυρεῖ Κρατῖνος ἐν Δραπέτεσι· φέρε — Ξενοφῶντος. Zenob. Milleri (Mélanges p. 355) μῦς λευκός· ἐπὶ τῶν ἀκράτων περὶ τὰ ἀφροδίσια ἡ παροιμία εἴρηται. ἐπειδὴ οἱ κατοικίδιοι μύες καὶ μάλιστα οἱ λευκοὶ περὶ τὰς ὀχείας κεκίνηνται. ταύτης μέμνηται . . . Κρατῖνος ἐν Δραπέτησιν (Δραπέτισιν Miller). hinc facile conligas ante φέρε addendum esse λευκοῦ vel καὶ τοῦ λευκοῦ. '*Xenophontem* fortasse dicit Melitensem, Euripidis filium, quem in decem Atheniensium ducibus

belli Samii commemorat Androtio apud Schol. Aristid. 485 . . . Ol. 87, 4 cum Atheniensium exercitu contra Chalcidenses in Thracia missum esse docent Thuc. 2, 79. Diod. 12 p. 512. Plut. Nic. 6'. Meinek. cf. Bergk. R. c. Att. 63. — ἐξ αἰθρίας] Xen. Hell. 7, 1, 31 ἐξ αἰθρίας ἀστραπάς τε καὶ βροντὰς λέγουσιν αἰσίους αὐτῷ φανῆναι. Hom. Od. 20, 113 ἦ μεγάλα βρόντησας . . οὐδέ ποθι νέφος ἐστι· τέρας νυ τέῳ τάδε φαίνεις. sententiam neque Meinekius neque quisquam alius explicare potuit.

54

τοὺς ὧδε μόνον στασιάζοντας καὶ βουλομένους τινὰς εἶναι.

Photius ὧδε· οὐ μόνον τὸ οὕτως, ἀλλὰ καὶ τὸ ἐνθάδε ὡς ἡμεῖς. Κρατῖνος Δραπέτισι. fallitur Photius. nusquam apud Atticos ὧδε pro ἐνθάδε, interdum pro δεῦρο ponitur. cf. Arist. Av. 229 cum eis quae adnotavi. '*sic incassum*, *sine causa et ratione.*'

55

ποδαπὰς ὑμᾶς εἶναι φάσκων, ὦ μείρακες, οὐκ ἂν ἁμάρτοιν;

Suidas ἁμάρτοιν εἴρηκε τὸ ἁμάρτοιμι Κρατῖνος Δραπέτισι . . . καὶ ὅλως σύνηθες τὸ τοιοῦτο. Draco Straton. 18, 20 τὸ μεῖραξ ἐπὶ θηλυκοῦ τιθέμενον εὖ ἂν ἔχοι. ὡς ἀγνοοῦντες δὲ τοῦτο ἔσθ' ὅτε οἱ κωμικοὶ καὶ ἀρσενικῷ γένει τὴν σύνταξιν ποιοῦνται. ἀλλ' εἰκὸς αὐτοὺς θηλυκῇ προσηγορίᾳ σκώπτειν τοὺς πασχητιῶντας. etiam ignavos opinor et inbelles. Lob. Phryn. 212. sic Thersites (Hom. Il. 2, 235) Ἀχαιΐδες, οὐκέτ' Ἀχαιοί, et Verg. Aen. 9, 614 *o vere Phrygiae, neque enim Phryges.* de terminatione οιν pro οιμι cf. Curtius Verb. graec. I 44. G. Herm. Eur. Hel. 271 (263) λάβοιν. Lycurg. Leocr. 100, 6. Etym. m. τρέφοιν. Eur. Troad. 226 Dindorfius (adn. Oxon.) Ἰονίῳ ναίοιν πόντῳ.

56

Πανδιονίδα πόλεως βασιλεῦ
τῆς ἐριβώλακος, οἶσθ' ἣν λέγομεν,
καὶ κύνα καὶ πόλιν ἣν παίζουσιν.

Pollux 9, 98 ἡ δὲ διὰ πολλῶν ψήφων παιδιὰ πλινθίον ἐστὶ χώρας ἐν γραμμαῖς ἔχον διακειμένας. καὶ τὸ μὲν πλινθίον καλεῖται πόλις, τῶν δὲ ψήφων ἑκάστη κύων· διῃρημένων δὲ εἰς δύο τῶν ψήφων κατὰ τὰς χρόας, ἡ τέχνη τῆς παιδιᾶς ἐστι περιλήψει τῶν δύο ψήφων ὁμοχρόων τὴν ἑτερόχρουν ἀναιρεῖν, ὅθεν καὶ Κρατίνῳ πέπαικται· Πανδιονίδα κτλ. Zenob. 5, 67 πόλεις παίζειν. μέμνηται ταύτης Κρατῖνος ἐν Δραπέτισιν. ἡ δὲ πόλις εἶδός ἐστι παιδιᾶς πεττευτικῆς. καὶ δοκεῖ μετενηνέχθαι ἀπὸ τῶν ταῖς ψήφοις παιζόντων, ταῖς λεγομέναις νῦν χώραις, τότε δὲ πόλεσιν. cf. Hesych. πόλεις παί-

ζειν. Phot. πόλεις παίζειν· τὰς νῦν χαρὰς (scr. χώρας) καλουμένας ἐν ταῖς ζ′ (cod. ξ) ψήφοις. — βασιλεῦ Bentl. Epist. ad Hemsterh. 84] βασιλέως. ἐριβώλακος] ἱεροκόλακος A.

πόλεις vel χῶραι sunt figurae quadrangulae in tabula qua ad latrunculorum ludum utebantur diversis coloribus distinctae, κύνες latrunculi ipsi. formam doricam Πανδιονίδα in anapaestis sine dubio *non cantatis* ferri posse nego. adpellari videtur Pericles, qui cum Pandione non cognatus non Pandionides, sed Pandioniae urbis rex apte dicebatur. itaque scribendum Πανδιονίδος πόλεως βασιλεῦ. praeterea post λέγομεν interrogandi signum ponendum est. nam hoc dicit chorus: cum Pandioniae te urbis regem salutamus, nostine urbem quam dicimus? eam quae in latrunculorum ludo significatur, sive κύνα sive πόλιν dixeris, in qua tua culpa omnia incerta et inconstantia sunt ut calculi ipsi. itaque cave ne tua quoque potentia ab adversariis evertatur. ἐριβώλακα cur dicat Atticam neutiquam fertilem (Thuc. 1, 2) nescio.

57. 58

Λάμπωνα, τὸν οὐ βροτῶν
ψῆφος δύναται φλεγυρὰ δείπνου φίλων ἀπείργειν.

* * *

νῦν δ' αὖθις ἐρυγγάνει·
βρύκει γὰρ ἅπαν τὸ παρόν, τρίγλῃ δὲ κἂν μάχοιτο.

Athenaeus 8, 344e Κρατῖνος δ' ἐν Δραπέτισιν εἰπὼν περὶ αὐτοῦ Λάμπωνα — ἀπείργειν, ἐπάγει· νῦν δ' αὖθις κτλ. *3.* αὖθις Dindorf.] αὖτις. metrum est

⏑̲, ⏑́ ⏑ ⏑ – ⏑ –
–, ⏑́ ⏑ ⏑ – ⏑ ⏑ –, ⏑̄ ⏑́ ⏑ – ⏑ – ⏑̄,

alterius versus idem quod in Vesparum exodo et Cratin. 323. cum Athenaeus eandem partem et strophae et antistrophae servaverit, integro carmine chorico Lamponem a Cratino traductum esse adparet. Hesych. φλεγυρά· ὑβριστική. 'itaque ne ludibriis quidem et contumeliis Lamponem a conviviis prohiberi dicit.' Meinek. ego neque quid ψῆφος φλεγυρά (pro φῆμις φλεγυρά) neque quid τρίγλῃ δὲ κἂν μάχοιτο significent intellego. nam haec quidem nequaquam inlustrantur neque fr. 163 περὶ σιαγόνος βοείας μαχόμενος (nam prorsus diversa sunt μάχεσθαί τινι et μάχεσθαι περί τινος) neque eo exemplo quod Meinekius V 16 adfert Plut. Mor. 995d Διογένης . . . ὠμῷ πολύποδι διαμαχόμενος. nam crudum polypum edere periculosum est, mullum non item.

59

Schol. Platonis Bekk. 382 ὁ μῦθος ἀπώλετο· τούτῳ χρῶνται τῷ λόγῳ οἱ λέγοντές τι πρὸς τοὺς μὴ προσέχοντας. μέμνηται δὲ αὐτῆς

καὶ Κρατῖνος ἐν Δραπέτισι. Greg. Cypr. Leid. 2, 90 *ὁ μῦθος ἀπώλετο· ἐπὶ τῶν τὴν διήγησιν μὴ ἐπὶ πέρας ἀγόντων (ohne Pointe)* 2, 91 *τούτῳ τῷ λόγῳ χρῶνται οἱ λέγοντές τι πρὸς τοὺς μὴ προσέχοντας.* de utrisque commode usurpatur. cf. Plat. Reip. 10, 621 b.

60

Zenob. 6, 24 *ὕδωρ παραρρέει· αὕτη τάττεται ἐπὶ τῶν ἐκ παντὸς ἔργου ἐπαγγελλομένων καταπράξασθαι τὸ προκείμενον. μετενήνεκται δὲ ἀπὸ τῶν ὑπὸ σπουδῆς εἰς ῥέοντα πλοῖα εἰσβαινόντων, καὶ παραβαλλομένων τῷ κινδύνῳ. μέμνηται αὐτῆς Κρατῖνος ἐν Δραπέτισιν.* Phot. *ὕδωρ παραρέῃ· ἐπὶ τῶν ἐπαγγελλόντων παντὶ σθένει σπουδάσειν, ὡς κἂν εἰς ῥέοντα πλοῖα ἐμβῆναι οὐκ ὀκνησάντων.* similiter Plutarch. Proverb. 1, 28. ex Photio Meinekius (ed. min. p. VI) concludit 'Cratinum tale quid scripsisse *πράξω δὲ ταῦτα, κἂν ὕδωρ παραρρέῃ*'. sententia quam Zenobius exposuit vehementer dubito an proverbio subesse non possit. neque enim Athenienses tam timidi erant ut navigia mari fluviove agitata (*ῥέοντα*?) conscendere vererentur. semper in mentem venit Horatii Epist. 1, 2, 42 *exspectat dum defluat amnis: at ille labitur et labetur in omne volubilis aevum.* nam dictum videtur proverbium de eis qui aliquid omni studio se perfecturos esse pollicentur, occasionem autem rei gerendae praetermittunt.

61

Harpocrat. *ἱερὰ ὁδός ἐστιν ἣν οἱ μύσται πορεύονται ἀπὸ τοῦ ἄστεος ἐπ' Ἐλευσῖνα . . . μνημονεύει δ' αὐτῆς Κρατῖνος ἐν Δραπέτισιν.*

62

Hesychius *ἀγερσικύβηλις· Κρατῖνος ἐν Δραπέτισιν ἐπὶ Λάμπωνος. τὸν αὐτὸν ἀγύρτην καὶ κυβηλιστὴν εἶπεν, οἱονεὶ θύτην καὶ μάντιν. κύβηλιν γὰρ ἔλεγον τὸν πέλεκυν.* Bekk. Anecd. 336, 15 *ἀγερσικύβηλιν Κρατῖνος Λάμπωνα τὸν μάντιν ὡς ἀγύρτην καὶ θύτην. κύβηλις γὰρ ὁ πέλεκυς. οἱ δὲ ἐγερσικύβηλιν ἐν τῷ δράματι γράφουσι, τὸν ἐφ' ἑαυτὸν ἐγείροντα τὸν πέλεκυν.* cf. Suid. *κυβηλίσαι* et Etym. m. 8, 11. 'sacrificulum stipem conligentem, avarum hominem et alieni adpetentem' interpretatur Bergkius R. c. Att. 47. nam *ἀγείρειν*, unde *ἀγύρτης*, est *mendicando conligere.* Ruhnken. Tim. 10.

63

ἀνεικάσασθε, ἀνασκώψατε. Δραπέτισι Κρατῖνος. Bekk. Anecd. 396, 24 et Suidas. Hesych. *ἀνεικάσασθε· ἀνασκώψατε* (cod. *ἀνακάσασθαι*). neque *ἀνεικάζειν* neque *ἀνασκώπτειν* Atticis usitatum fuisse credo. ubique scribendum videtur *ἀντεικάσασθε· ἀντισκώψατε.* cf. Arist. Vesp. 1308—1311. media forma Arist. Av. 807. *εἰκά-*

ζειν ἀντεικάζειν. deinde *εἰκάζεσθαι ἀντεικάζεσθαι* Plat. Menon. 80ab. etiam *κατεικάζειν* Eupol. 345 admodum incertum est.

64

Basilius apud Schaeferum Gregor. Cor. praef. LIII *στιβάς, χαμαικοίτιον ἐν στρατείαις, ὡς . . . καὶ Ἀριστοφάνης* (Pac. 347) *καὶ ἐν Δραπέτισι Κρατῖνος*. verba *ἐν στρατείαις* ante Lucam (Observ. spec. II 8) post vocem *Ἀριστοφάνης* legebantur.

Ad Fugitivas praeterea Bergkius (R. c. Att. 48) refert fr. 308, quo Lamponem perstringi arbitratur.

ΕΜΠΙΜΠΡΑΜΕΝΟΙ Η ΙΔΑΙΟΙ

'Clemens Alex. Strom. 6, 751 Pott. *Ἀριστοφάνης δὲ ὁ κωμικὸς ἐν ταῖς πρώταις Θεσμοφοριαζούσαις τὰ ἐκ τῶν Κρατίνου Ἐμπιπραμένων μετήνεγκεν ἔπη*. haec Dindorfius ad Aristophan. fragment. p. 94 composuit cum scholiastae loco ad Thesmoph. 215

ΜΝ. ἀτὰρ τί μέλλεις δρᾶν μ'; ΕΥ. ἀποξυρεῖν ταδί,
τὰ κάτω δ' ἀφεύειν.

hic igitur scholiasta ad *ταδί* haec habet: *τὰ γένεια· ταῦτα δὲ ἔλαβεν ἐκ τῶν Ἰδαίων Κρατίνου*. ex quo conclusit Dindorfius plenum fabulae titulum fuisse eum quem supra adscripsi.' Meinek. — multa praeterea de hac comoedia homines docti commenti sunt, Meinekius ipse II 54 sq., Bergkius R. c. Att. 108 sq. Fritzschius Arist. Thesm. 215 p. 71. denique Cobetus Observ. Plat. com. 77 totam eam comoediam numquam fuisse, sed unius Aristobuli auctoritati, fallacissimae illi quidem, deberi censuit, non adsentiente Meinekio V 17. fragmenta cum nulla exstent, inutile videtur rem dubiam copiosius persequi.

ΕΥΝΕΙΔΑΙ

Actam esse constat ante Aristophanis Equites (cf. 523 sq. cum schol.). Ptolemaeus Hephaestio apud Phot. Bibl. 192 p. 151 *τελευτήσαντος Δημητρίου τοῦ Σκηψίου τὸ βιβλίον Τέλλιδος πρὸς τῇ κεφαλῇ αὐτοῦ εὑρέθη . . . τοὺς δὲ Εὐνείδας Κρατίνου πρὸς τῇ Ἀλεξάνδρου* (magni Macedonum regis). qua de narratione cf. quae R. Hercherus scripsit Ueb. die Glaubwürdigkeit des Ptolemaeus Chennus Annal. philol. suppl. I 13 (279) et quae adnotavimus ad Eupolidis *Ὑβριστοδίκας*. — *Eunidae* sunt progenies Eunei Lemnii, Iasonis ex Hypsipyle filii. Hesych. *Εὔνεως· Ἰάσονος καὶ Ὑψιπύλης υἱός*. id. *Εὐνεῖδαι· γένος ἀπὸ Εὔνεω κεκλημένον τοῦ Ἰάσονος υἱοῦ, οἷον γένος ὀρχηστῶν καὶ κιθαριστῶν*. Harpocr. *Εὐνεῖδαι· . . . γένος ἐστὶ παρ' Ἀθηναίοις . . . ἦσαν δὲ κιθαρῳδοὶ πρὸς τὰς ἱερουργίας παρέχοντες τὴν χρείαν*. Phot. *Εὐνεῖδαι γένος Ἀθήνησι μουσικόν· ἀπὸ Εὔνεω τοῦ Ἰάσονος καὶ Ὑψιπύλης*. cf. Bergk.

R. c. Att. 70. de argumento non constat, nisi quod parodiarum plenam fuisse fabulam Athenaeus testatur 15, 698c.

65

ἥβης ἐκείνης, νοῦ δὲ τοῦδε καὶ φρενῶν.

Stobaeus Floril. 52, 11 *Κρατῖνος ἐν Εὐνίδαις· ἥβης ἐκείνης, νοῦ δὲ τοῦδε καὶ φρενῶν* [*κατάλληλος*]. Iulianus Misop. 339d *ὅπερ ὑμεῖς ὁρῶντες ὀλίγῳ πρότερον ἀναμιμνήσκεσθε νῦν ἥβης ἐκείνης νοῦ τε ἐκείνου καὶ φρενῶν*. Synesius Epist. 130 p. 265b (717 Hercher) *στένομεν μεμνημένοι ἥβης τε ἐκείνης νοῦ τ' ἐκείνου καὶ φρενῶν*. cum Iulianus et Synesius consentiant in verbo (*ἀναμιμνήσκεσθαι*), Cratinum scripsisse existimo quod legitur apud Synesium

στένομεν μεμνημένοι
ἥβης ἐκείνης, νοῦ δὲ τοῦδε καὶ φρενῶν.

dolent senes quicumque loquuntur quod adulescentiae robur non possit coniungi cum sapientia senectutis (*τοῦδε*). *κατάλληλος* eiectum a Grotio. fortasse accedebat versus alter: *ὅτι οὐ φιλοῦσί πως μετ' ἀλλήλων μένειν.*

66

ἐπίσχες αὐτοῦ, μὴ πέρα προβῇς λόγου.

Io. Alexandrinus De acc. 29, 25 *ἔστι τινὰ* (adverbia) *καὶ παρὰ αἰτιατικῆς γεγονότα, οἷον τὸ πέραν καὶ πέρην . . . καὶ ἀπὸ δοτικῆς· ἐπίσχες αὐτοῦ, μὴ πέρα προβῇς λόγου. Κρατῖνος Εὐμένισιν.* Meinek. *Εὐνείδαις.*

67

Suidas *ἀμφιανακτίζειν· ᾄδειν τὸν Τερπάνδρου νόμον, τὸν καλούμενον ὄρθιον, οὗ τὸ προοίμιον ταύτην τὴν ἀρχὴν εἶχεν*

ἀμφί μοι αὐτὸν ἄναχθ' ἑκατηβόλον ᾀδέτω ἁ φρήν.

ἔστι δὲ καὶ ἐν Εὐναίᾳ καὶ ἐν Ἀναγύρῳ (Aristophanis). pro *Εὐναίᾳ* Dindorfius Fr. Arist. 95 et Bergkius (R. c. Att. 71) *Εὐνείδαις*. ceterum cf. Arist. Nub. 595 cum interpr.

68

Porphyr. Euseb. Praep. ev. 10, 3 *τὸ γὰρ 'τὸν δ' ἀπαμειβόμενος προσέφη κρείων Διομήδης' σιγῶ, Ὁμήρου κωμῳδηθέντος ὑπὸ Κνατίνου διὰ τὸ πλεονάσαι ἐν τῷ 'τὸν δ' ἀπαμειβόμενος'.* ad Eunidas rettulit Meinekius propter Athen. 15, 698d *κέχρηται δὲ* (*παρῳδίαις*) *καὶ Κρατῖνος . . . ἐν Εὐνείδαις.* suspicor etiam apud Porphyrium pro *κωμῳδηθέντος* scribendum esse *παρῳδηθέντος.*

69. 70

Δωροῖ συκοπέδιλε.
τέκτονες εὐπαλάμων ὕμνων.

Aristophanes Eq. 529. 30 ᾄσαι δ' οὐκ ἦν ἐν ξυμποσίῳ πλὴν 'Δωροῖ συκοπέδιλε' καὶ 'τέκτονες εὐπαλάμων ὕμνων'· οὕτως ἤνθησεν ἐκεῖνος. Schol. Κρατίνου μέλους ἀρχή. σκώπτων δέ τινα ἐκεῖνος δωροδόκον καὶ συκοφάντην τοῦτο εἶπεν. deinde ad τέκτονες εὐπαλάμων ὕμνων· καὶ τοῦτο δὲ ἐκ τῶν Εὐνειδῶν Κρατίνου. unde adparet utrumque carmen Eunidarum fuisse. Hesych. Δωροῖ συκοπέδιλε· παρῳδεῖται τοῦτο ἐκ τῶν ἀρχαίων ποιημάτων. apud Hesiodum Theog. 454 est Ἥρη χρυσοπέδιλος, quae ex Hesiodo inlata est in Hom. Od. 11, 604. nomen Δωρώ finxit ad analogiam eorum quae usurpabantur ab Atticis Θαλλώ, Καρπώ, Αὐξώ. eodem modo dicitur avarorum hominum deam finxisse Δεξώ. Hesych. Ἐμβλώ· πέπλασται παρὰ τὸ ἐμβλέπειν· ὡς ἡ Δωρὼ καὶ Δεξώ, ubi Lobeckius Pathol. prol. 36 adn. 36 παρὰ τὸ ἐμβλῆναι potius fictum esse id nomen arbitratur, quia τῶν δωροδοκούντων vox sit ἔμβαλε κυλλῇ (Arist. Eq. 1083). cf. etiam Bergk. R. c. Att. 69. — τέκτονες ὕμνων poetas dicit ad similitudinem Pindari Pyth. 3, 113 (200) Σαρπηδόνα . . . ἐξ ἐπέων κελαδεννῶν, τέκτονες οἷα σοφοὶ ἅρμοσαν, γιγνώσκομεν. Nem. 3, 4 (7) μελιγαρύων τέκτονες κώμων.

Praeterea huic fabulae Bergkius (R. c. Att. 71) tribuit fr. 310, quod Fritzschius (Qu. Arist. 241) ad Archilochos refert.

ΘΡΑΙΤΤΑΙ

Inscriptio fabulae Θρᾷτται fuerit an Θρᾷσσαι nescio. antiquiores enim Attici θάλασσαν dicebant, non θάλατταν, similia. Ael. Dionysius apud Eustath. 813,42 sq. narrat primum Periclem, deinde comicos pronuntiationem vocum ita novavisse, ut σσ transmutaretur in ττ. atque ut apud Thucydidem antiquius scribendi genus mansit, ita apud Antiphontem σσ multo frequentius est quam ττ. Cratinus, si codicibus fides est, in trimetris paene semper ττ, in melicis metris epicorumque versuum parodiis, ut Aristophanes σσ, sed etiam fr. 175 γλῶσσαν, 344 ναρκισσίνους (?), 364 πισσοκωνίας Ἄρης in versibus qui aut iambici aut trochaici videntur.

acta comoedia videtur Ol. 84, 1, siquidem Ol. 83, 4 Pericles testarum suffragium effugerat. argumentum ad Bendidis, deae Thraciae, sacra pertinet, videturque chorus ex mulieribus Thraciis Bendidi operantibus compositus fuisse. Bergk. R. c. Att. 76. 78. 9. 87—91. Boeckh. Opusc. IIII 449. nam etiam si tunc Bendidis cultus publice nondum receptus erat, privatim sacra eius aliquamdiu videntur celebrata esse. cf. quae ad fr. 30 adnotavimus et Arist. fr. 365. templum deae in Piraeeo Euclide archonte commemorat Xen. Hell. 2, 4, 11.

71

ὁ σχινοκέφαλος Ζεὺς ὅδε προσέρχεται
Περικλέης, τᾠδεῖον ἐπὶ τοῦ κρανίου
ἔχων, ἐπειδὴ τοὔστρακον παροίχεται.

Plutarch. Pericl. 13 Κρατῖνος ἐν Θρᾴτταις. Pollux 2, 43 σχινοκέφαλον δὲ Κρατῖνος τὸν Περικλέα εἶπε. ὅδε] ὦ δὲ C. ὁδὶ Meinekius. Περικλέης] ὁ Περικλέης Meinekius. recte sine dubio, si Plutarchi codices verba poetae incorrupta tradiderunt. cum autem 'iocoso nomini' (ὁ σχ. Ζεύς) 'verum addere' (Περικλέης) insulsum sit, iure Cobetus (Var. lect. 371. 2) Περικλέης eiecisse videtur; quo facto scribendum est ὁ σχ. Ζ. ὅδε | προσέρχεται, τᾠδ. ἐπὶ τοῦ κρ. | ἔχων. — Plut. Per. 3 (Ἀγαρίστη) ἔτεκε Περικλέα τὰ μὲν ἄλλα τὴν ἰδέαν τοῦ σώματος ἄμεμπτον, προμήκη δὲ τὴν κεφαλὴν καὶ ἀσύμμετρον. ὅθεν αἱ μὲν εἰκόνες αὐτοῦ σχεδὸν ἅπασαι κράνεσι περιέχονται . . . οἱ δὲ Ἀττικοὶ ποιηταὶ σχινοκέφαλον αὐτὸν ἐκάλουν· τὴν γὰρ σκίλλαν ἔστιν ὅτε καὶ σχῖνον ὀνομάζουσιν. 11 τὸ ᾠδεῖον, . . . τῇ δ' ἐρέψει περικλινὲς καὶ κάταντες ἐκ μιᾶς κορυφῆς πεποιημένον, εἰκόνα λέγουσι γενέσθαι καὶ μίμημα τῆς βασιλέως σκηνῆς, ἐπιστατοῦντος καὶ τούτῳ Περικλέους. odeum in capite Pericles gestat tamquam galeam. ea enim, capitis formae adcommodata et propterea praegrandis, facile cum tholo odei comparabatur, tum Atheniensibus novo et admirabili. dedicatum esse odeum Wachsmuthius (Athen. I 554 adn. 2) censet a. a. Chr. 446. cf. Saupp. Act. soc. Gott. 1867, 31. τοὔστρακον παροίχεται plerique ita interpretantur, tamquam Pericles testarum suffragium effugisse dicatur. at cum ita παροίχεσθαι nusquam usurpetur, sed semper absolute, veri similius est poetam queri, quod una illa ultimi ostracismi occasio, qua Periclem Athenienses in exsilium mittere potuerint, frustra praeterierit. paullo aliter Cobet. Obs. crit. Plat. 7.

72

ἐς τὸν καλιόν, ἢν τύχῃ, καθείργνυται.

Pollux 10, 160 οἰκίσκος ὀρνίθειος παρὰ Ἡροδότῳ καὶ Ἀρχιλόχῳ. καὶ καλιὰ δὲ καὶ καλιὸς ὁ τοιοῦτος οἰκίσκος, ὡς Κρατῖνος Θρᾴτταις. Hesychius καθείργνυται· συγκλείεται. Fritzschii interpretationem (Qu. Arist. 78) nemo opinor sequetur.

73

ὅτι τοὺς κόρακος τὰξ Αἰγύπτου χρυσία κλέπτοντας ἔπαυσαν.

Pollux 9, 91 οὕτως ἂν καὶ ὁ Κρατῖνος ἐν Θρᾴτταις εἰρηκὼς εἴη τὸν χρυσὸν χρυσία. ἔπαυσαν] ἔπαυσεν Meinekius, ut chorus de poeta loquatur, cf. Arist. Eq. 541 sq. Pac. 739 sq. potest tamen Cratinus etiam de aliis hominibus haec praedicare, etiamsi ex para-

basi petita sint. Psammetichus, Libyae rex, Ol. 83, 4 magnam frumenti et ut videtur auri copiam Atheniensibus donaverat. cf. Bergk. R. c. Att. 104. 106. idem aurum significari videtur Pherecr. 47.

74

Πανὶ κακὸν δεῦρο μαστάω τινά
ποτὲ χαλκοῦν ἢ ξύλινον καὶ χρύσεον προσῆν.
οὐδαμᾶς ξύλινος ἐκεῖνος * * * * * * * *
ἀλλὰ χαλκοῦς ὢν ἀπέδρα. πότερα Δαιδάλειος ἦν;
ἤ τις ἔκλεψεν αὐτόν;

Schol. Eurip. Hec. 821 a Cobeto descriptum ex cod. Marc. 471, apud Geelium Eurip. Phoeniss. p. 256. 7 *Κρατῖνος ἐν Θρᾴτταις· πανὶ κακὸν δεῦρο μαστεύων. τίνα ποτὲ χαλκοῦν ἢ ξύλινον καὶ χρύσεον. πρὸς ἣν οὐδαμῶς ξύλινος ἐκεῖνος ἀλλὰ χαλκοῦς ὢν ἀπέδρα πότερον δαιδάλειος ἦν ἤ τις ἔκλεψεν αὐτόν.* apud Dindorfium in ed. schol. v. 838 *μαστεύων τινὰ — χρύσεον προσῆν — ἀπέδρα· — ἤ τίς.* quae supra leguntur Meinekii sunt. fragmentum plus quam desperatum. metro Eupolideo scriptum esse omnes consentiunt, quamquam sine dubio dialogus est, in quo id metri genus nusquam alibi inveniri Meinekius indicavit. Dobraeus Arist. Nub. 518 G. Hermanni apud Matthiaeum (ed. Eur.) emendationibus usus

⏓ ⏑ ⏓ ⏑ Πανὶ κάδον δεῦρο βάστασόν τινα.
Β. πότερα χαλκοῦν ἢ ξύλινον; Α. καὶ χρυσοῦν, ἐὰν προσῇ.
Β. οὐδαμῶς, ξύλινος δ' ἐκεῖνός [σοι. χαλκοῦς μοί ποτ' ἦν,]
ἀλλὰ χαλκοῦς ὢν ἀπέδρα κτλ.

varias coniecturas Fritzschius Fragm. Eup. versu conscr. 6. 18. 19. proposuit. adiuvabit fortasse emendationem quem Meinekius attulit Dio Chrysost. Or. 37 p. 105 Reisk. *ὁ δὲ ἀνδριὰς τῶν Δαιδάλου ποιημάτων ἔτυχεν ὢν καὶ λαθὼν ὑμᾶς ἀπέδρα.* cf. Cratet. 15. Arist. fr. 194. Diodor. 4, 76. Bekk. Anecd. 240, 16. quaerere videtur nescio quis cadum furto ablatum, alter interrogare aeneus an ligneus fuerit.

75

Schol. Aristoph. Vesp. 590 *Εὔαθλος ῥήτωρ συκοφάντης, μνημονεύει δὲ αὐτοῦ καὶ Πλάτων ἐν Πεισάνδρῳ καὶ Κρατῖνος ἐν Θρᾴτταις.* *Euathlus,* cui peregrinam originem comici exprobrant, discipulus fuit Protagorae. a quo cum *τὸν κρείττονα καὶ τὸν ἥττονα λόγον* didicisset, praeceptorem pacta mercede callidissime fraudavit. Gell. 5, 10. Bergk. R. c. Att. 97—101. cf. Arist. Ach. 710. Vesp. 592. fr. 411. Plat. 102.

76

τὴν πέρυσι βουλὴν ἐφεστώς.

Priscianus 18, 213 *Κρατῖνος Θράτταις*. mirum est quod Priscianus, ut Atticos *ἐπιστατήσει ὑμῶν καὶ ὑμῖν* dixisse probet, nullum dativi exemplum sed duo genetivi, unum accusativi adfert. Meinekius *τῆς βουλῆς*. at fortasse hoc dicit 'per totum id tempus quod *ἡ π. βουλὴ ἐβούλευε*, praefectus erat'.

77

ὀκτώπουν ἀνεγείρεις.

Photius et Suidas *ὀκτώπουν· Κρατῖνος Θράτταις ἀντὶ τοῦ σκορπίου. παροιμία γὰρ 'σκορπίον [ὀκτώπουν] ἀνεγείρεις'. ὀκτώπους* ex proverbio eiecit Meinekius. rectissime: nam proverbium erat *σκορπίον ἀνεγείρεις*, Cratinus autem scorpio figurate *ὀκτώπουν* substituerat. talibus 'vocabulis significativis dialectos undique refertas fuisse multis exemplis intellegere possumus. Hesych. *ἀσπάλους τοὺς ἰχθύας* a palpitando. *βάβακοι ὑπὸ Ἠλείων τέττιγες, ὑπὸ Ποντικῶν δὲ βάτραχοι. βωλώρυχα· τὴν σῦν Λάκωνες*'. Lob. Aglaoph. II 847.

78

ἀπέφρησαν

ἀφῆκαν. Κρατῖνος Θράσσαις. Hesych. ex emend. Meinek., cod. *Κρατῖνοι θρασυ* (-ες). apud alios scriptores tantummodo *ἐκφρεῖν* et *εἰσφρεῖν*.

79

ἀρκυωρός

ὁ τὰς ἄρκυς, τουτέστι τὰ λίνα, φυλάττων. ἄρκυς δὲ λέγονται πάντα τὰ κυνηγετικὰ λίνα . . Κρατῖνος Θράτταις. Harpocrat. — cum *ἄρκυς* vocabulum sit usitatius, *ἀρκυωρός* (vel potius *ἀρκ.*) multo rarius, hoc alterum ab Harpocratione significari videtur. cf. Xen. Cyneg. 6, 5. de spiritu F. G. Kiessling Lycurgi fr. p. 61 et Eupol. 313.

80

δίλογχον

τὴν Βένδιν οὕτω Κρατῖνος ἐν Θράτταις ἐκάλεσεν, ἤτοι ὅτι δύο τιμὰς ἐκληρώσατο, οὐρανίαν τε καὶ χθονίαν· λόγχας γὰρ ἐκάλουν τοὺς κλήρους· οἱ δὲ ὅτι δύο φῶτα ἔχει, τὸ ἴδιον καὶ τὸ τοῦ ἡλίου. τὴν γὰρ σελήνην Βένδιν καὶ Ἄρτεμιν νομίζουσιν. Hesych. — sic Hecaten *tres* sortes tresque formas accepisse veteres crediderunt. *δίλογχος* ex ipso verbo *λαγχάνειν* formatum ex dialecto nescio qua ad Atticos videtur pervenisse. ceterum rectius *Βενδῖς Βενδῖν* scribi ex grammaticorum testimoniis docuit Goettling. De accent. 275.

81

κακόδουλος

Κρατῖνος Θρᾳξί Bekker. Anecd. 104, 18. Pollux 3, 80 *παρὰ Κρατίνῳ δὲ ὁ κακόδουλος εἴρηται*, i. e. homo qui nescit servis bene uti.

82

κύβηβον

Κρατῖνος Θρᾴτταις. τὸν θεοφόρητον. Phot. — ita Ruhnkenius Tim. 11 pro *θεόφραστον*. idem Photius *κύβηβος· ὁ κατεχόμενος τῇ μητρὶ τῶν θεῶν· θεοφόρητος*. in primis Bendidis cultores ita adpellabantur, sicuti Bendis ipsa *Κυβήβη*. cf. Hesych. *Κυβήβη*. Bergk. R. c. Att. 92.

83

Pollux 10, 67 *προσθετέον δὲ τὰς ἐν Θρᾴτταις Κρατίνου πέλιχας ἢ κύλικας ἢ προχοίδια εἶναι δοκούσας*. Athenaeus 11, 495a *πελίκαι· Καλλίστρατος ἐν ὑπομνήματι Θρᾳττῶν Κρατίνου ἀποδίδωσι* (i. e. *interpretatur*) *κύλικα*. Hesych. *πελίκαν· εἶδος ποτηρίου ξυλίνου. διὰ τὸ πεπελεκῆσθαι. ἄλλοι ξυλίνη λεκάνη*. Phot. *πέλικαν· Βοιωτοὶ τὴν ξυλίνην λεκάνην, διὰ τὸ ἐκπεπελεκῆσθαι. Ἀπολλόδωρος δὲ ποτηρίου εἶδος*. ac Pollux ipse 10, 73 *ἔνιοι τὸν χοῦν καὶ πελίκην κεκλῆσθαι νομίζουσι καὶ εἶναι τοὔνομα Βοιωτικόν*. 78 *τὴν λεκάνην . . . Αἰολεῖς πέλικα* (*καλοῦσιν*).

84

Hesych. *συρβηνεύς· Κρατῖνος ἐν Θρᾴτταις. ἤτοι αὐλητής. σύρβη γὰρ ἡ αὐλοθήκη. ἢ ταραχώδης*. Zenob. 6, 1 *συρβηνὸς* (-*εὺς*?) *χορός· αὕτη τέτακται κατὰ τῶν ἀτάκτων χορῶν, ἀπὸ τοῦ τινὰς τοῖς ὑσὶν ἐπιφωνεῖν σύρβας. σύρβην δὲ τὸν τάραχον ἔλεγον*. (lat. *turba*.) Phot. *συρβηνεύς· ὁ ταραχώδης· ἀπὸ τῶν αὐλούντων μετὰ θορύβου· ἢ πένης· διὰ τὸ τὰς αὐλοθήκας καὶ φαρέτρας κενὰς* (*εἶναι*)*· καὶ συρβηνέων χορός· ὁ τεταραγμένος καὶ συώδης· ἀπὸ τοῦ τοῖς συσὶν ἐπιφωνουμένου*. Athen. 15, 669b *ἐπεὶ θόρυβος κατεῖχε τὸ συμπόσιον, ἔφη· τίς οὗτος ὁ τῶν συρβηνέων χορός;* Clearch. apud eundem 15, 697f *ὁ συρβηνέων χορός, ὧν ἕκαστον τὸ δοκοῦν ἑαυτῷ κατᾷσαι δεῖ, προσέχων οὐδὲν τῷ προκαθημένῳ καὶ διδάσκοντι τὸν χορόν* (nos *Katzenmusik*). addit Meinekius in ed. min. scriptorem in Mai Spicil. Rom. II 314 *· τυρβηνέων τι καινὸν ἐργαστήριον*, qui est trimeter comicus, fortasse ipsius Cratini, quo Thraessarum chorus significabatur.

Ad hanc fabulam Bergkius R. c. Att. 92 etiam fr. 321 refert, sed non sine dubitatione.

ΚΛΕΟΒΟΥΛΙΝΑΙ

'Antiquissimum (aenigmaticae comoediae) exemplum habemus Cratini Cleobulinas, a Cleobulina, Cleobuli Lindii filia ingeniosissima multorumque aenigmatum auctore celeberrima, adpellatas, qua in fabula Cratinus mulierculariim coetum videtur exhibuisse, aenigmatis multis modis ludentium.' Meinek. I 277. Diog. L. 1, 89 γενέσθαι (Κλεοβούλῳ) θυγατέρα Κλεοβουλίνην, αἰνιγμάτων ἑξαμέτρων ποιήτριαν, ἧς μέμνηται καὶ Κρατῖνος ἐν τῷ ὁμωνύμῳ δράματι, πληθυντικῶς ἐπιγράψας. Plutarchus Mor. 148cd eam a patre Eumetin, a populo Cleobulinen adpellatam esse narrat. cf. Bergk. R. c. Att. 112—123.

85

Ἀκέστορα γὰρ ὅμως εἰκὸς λαβεῖν
πληγάς, ἐὰν μὴ συστρέψῃ τὰ πράγματα.

Schol. Venet. Aristoph. Av. 31 εἰς δὲ τὴν ποίησιν (Ἀκέστορα) κεχλευάκασι Καλλίας μὲν . . . Κρατῖνος δὲ ἐν Κλεοβουλίναις. συστρέψῃ] συστρέφῃ Bentleius, συστραφῇ Dobraeus Advers. II 214. Κλεοβουλίναις pro Κλεοβούλοις Kusterus. versum 1 Cratinus ita non scripsisse videtur vel propter ictum in ultima syllaba nominis Ἀκέστορα. συστρέφειν Meinekius ex Ernestii Lexico rhetor. 335 interpretatur 'actionem et argumentum fabulae rotundare et suis finibus circumscribere, ne temere diffluat et extra terminos vagetur'. Bergkius R. c. Att. 124 tortuosam et obscuram Acestoris poesin intellegit. neutrum ex *Atticis poetis* comprobari posse puto: nam post Aristotelem illam priorem significationem haud raro inveniri constat. nescio an συ ex στ perperam repetitum, μή autem ex δια ortum et scribendum sit ἐὰν διαστρέφῃ τ. πρ. Arist. Ran. 1122 ἀσαφὴς γὰρ ἦν ἐν τῇ φράσει τῶν πραγμάτων. τὴν φύσιν διαστρέφειν Menand. monost. 203. Cic. De fat. 8, 16 *multa sunt genera enuntiandi, nec ullum distortius quam hoc.* de Acestore Saca cf. Arist. Av. 31 (cum interpr.). Eupol. 159, 14. Bergk. R. c. Att. 123. 4.

86

ἐπέδωκε βαλάνων ἄβακα τῶν ἐκ Φιττέως.

Pollux 10, 105 ἄβακα δ' εἰ βούλοιό τι τῶν τοῦ μαγείρου σκευῶν καλεῖν, προσχρηστέον σοι Κρατίνῳ ἐν Κλεοβουλίναις. et 6, 86 καὶ παρὰ Κρατίνῳ βαλάνων ἄβακα. pro Φιττέως Bentleius, quem secutus est Bekkerus, φελλέως. sed neque φελλεύς umquam nomen proprium fuit (Saupp. Epist. crit. 59 sq.), neque eae regiones quae illo nomine significantur (φελλεῖς τὰ πετρώδη καὶ αἰγίβοτα χωρία Harpocr., cf. fr. 271) quercubus alendis aptae erant. itaque Meinekius ἐκ Φηγέως. at pagus non erat Φηγεύς, sed Φηγαία, cuius

incola *Φηγαιεύς*. cf. Inscr. Att. Kirchh. ind. fortasse scribendum *ἐξ Ειτέας*, qui fuit pagus *τῆς Ἀκαμαντίδος*. Kirchh. Inscr. Att. 132. 273. — *βαλάνων* nomine praeter glandes etiam iuglandes, amygdalas, castaneas comprehendi docet Hehnius Kulturpfl. 338—340.

87

ἔστιν ἄκμων καὶ σφῦρα νεανίᾳ εὔτριχι πώλῳ.

Hephaestio 1, 18 *παρὰ Κρατίνῳ . . . ἐν Κλεοβουλίναις*. est aenigma ambiguae interpretationis. Hom. Od. 3, 434 *ἄκμονά τε σφῦράν τ' εὐποίητόν τε πυράγρην*.

88

Hesychius *αἰθὴς πέπλος· Κρατῖνος Κλεοβουλίναις ἐκβάλλοντες τῆς αἴθης πέπλους*. Zenob. 1, 33 *αἰθὴς πέπλος· ἐπὶ τῶν ὑπεκκαιόντων καὶ φθειρόντων* (*στάσεις ἐγειρόντων* Diogen. 1, 31) *καὶ διαβολὰς ποιούντων. εἴρηται δὲ παρόσον ἡ Δηιάνειρα πέπλον ἔπεμψεν Ἡρακλεῖ, ὑφ' οὗ κανθεὶς ἐφθάρη*. Apostol. 1, 81 *αἴθεις ἐν πέπλῳ καὶ αἴθης πέπλος*. Bergkius Pindar. p. 41 *ἐκβάλλοντες αἰθῆντας πέπλους*. Meinekius in ed. min. Deianiram vetusto nomine *Αἴθην* et vestem ab ea missam *Αἴθης πέπλον* adpellatam esse Cratinumque dixisse suspicatur *Δήμῳ τὸν ἐπιβάλλοντα τοὺς Αἴθης* (*αἰθεῖς* in ed. mai.) *πέπλους*. Herwerdenus denique Mnem. nov. VI 56 quia *αἰθής* nimis recedat a vulgari sermone, dochmios restituit scribendo *ἐπιβαλόν|τες αἰθεῖς πέπλους*. mihi non magis liquet quam Lobeckio Paralip. 544, nisi quod *homines discordiam civium excitantes* poeta videtur notare. cf. Arist. Lys. 567—586.

89

Zenob. 5, 14 *Μύλλος πάντ' ἀκούων· αὕτη τέτακται ἐπὶ τῶν κωφότητα προσποιουμένων καὶ πάντα ἀκουόντων. μέμνηται αὐτῆς Κρατῖνος ἐν Κλεοβουλίναις. ἔστι δὲ καὶ κωμῳδιῶν ποιητὴς Μύλος. Μύλλος* Leutsch ex B, Hesych., aliis. *Myllus* nomen fictum est hominis surdum se esse simulantis et propterea res vel sapientissimis ignotas audientis. Usener Mus. Rh. XXVIII 427. poetam Myllum nullum umquam fuisse docuit Wilamowitzius Herm. VIIII 338. 9.

90

ἐπισμῇ

Schol. Aristoph. Thesm. 389 *καὶ παρὰ Κρατίνῳ ἐστὶν ἐν Κλεοβουλίναις· ἔστι δὲ λοιδορία, ἀπὸ τοῦ καθάπτεσθαι τῶν σμωμένων*. Hesychius *ἐπισμῇ· ἐπιτρίβει . . . λοιδορεῖ, πλήττει*. Arist. Thesm. 389 *τί γὰρ οὗτος ἡμᾶς οὐκ ἐπισμῇ τῶν κακῶν*; eadem significatione sine dubio Cratinus.

91

ἰποῦμεν

Pollux 7, 41 'ἰπούμενος ταῖς συμφοραῖς' Ἀριστοφάνης πού φησι (Eq. 924). καὶ Κρατῖνος ἰποῦμεν ἐν Κλεοβουλίνῃ. Κρατῖνος ἰποῦμεν Meinek.] ἶπον μέν. Hesych. ἰπ[π]οῦμεν. πιέζομεν.

92

παροψωνεῖν

ἔφη Κρατῖνος ἐν Κλεοβουλίναις Athenaeus 4, 171b.

93

σκάλωψ

ὁ σπάλαξ. ἐν Κλεοβουλίναις Κρατῖνος. Photius. Boeotus apud Arist. Ach. 879 σκάλοπας. idem Atticis tribuit Etym. m. 715, 27. Hesych. σκάλοψ· ἀσπάλαξ, ζῷον γεωρύχον τυφλόν. Lob. Rhemat. 115 'σκάλλω *scabo*, *sculpo*, parique utriusque consonae (κ, π) vicissitudine σπάλευθρον et σκάλευθρον, σπάλαξ *talpa* et σκάλοψ'.

94

φέροικος

ἐν Κλεοβουλίναις. ζῷον ὅμοιον γαλῇ, λευκόν, φωλεῦον ἐν ταῖς ῥίζαις τῶν δρυῶν, βαλανηφάγον, οὕτω καλούμενον. Phot. — ὅμοιον γαλῇ quamquam non solum Photius, sed etiam Hesychius et Etymologicum magnum praebent, tamen non dubito emendare γαλεώτῃ. nomen in aenigmate positum fuisse pro κοχλίᾳ suspicatur Bergkius R. c. Att. 121, comparans aenigmata apud Athen. 2, 63b et 10, 455e. Hesiod. Op. 569 ἀλλ' ὁπόταν φερέοικος ἀπὸ χθονὸς ἂμ φυτὰ βαίνῃ. est *domiporta* Ciceronis De divin. 2, 64, 133.

ΛΑΚΩΝΕΣ

Inscriptio admodum dubia, quippe quae sola Clementis Alexandrini fide nitatur. cf. fr. 95.

95

φοβερὸν ἀνθρώποις τόδ' αὖ
κταμένοις ἐπ' αἴζηοῖσι καυχᾶσθαι μέγα.

Clemens Alexandr. Strom. 6, 738 πάλιν δ' αὖ Ὁμήρου (Od. 22, 412) εἰπόντος 'οὐχ ὁσίη κταμένοισιν ἐπ' ἀνδράσιν εὐχετάασθαι' Ἀρχίλοχός τε καὶ Κρατῖνος γράφουσιν, ὁ μὲν „οὐ γὰρ ἐσθλὰ κατθανοῦσι κερτομεῖν ἐπ' ἀνδράσιν", Κρατῖνος δὲ ἐν τοῖς Λάκωσι φοβερὸν κτλ. ubi dubium videri potest τοῖς Λάκωσι fabulaene nomen sit an cum verbis poetae coniungendum. cum vero ἀνθρώποις sequatur, prior opinio probabilior est. φοβερὸν] φθονερὸν Iacobs Animadv. Anal.

Brunck I 164. τόδ' αὖ] τόδε Grotius Excerpt. 461. Meinekius in ed. min. haec adnotat: 'scriptorum loci, quos in illa de poetarum furtis affert Clemens disputatione, maximam partem sunt corruptissimi nec sine meliorum librorum ope sanandi. in altero versu nihil est quod non optimo quoque poeta dignum sit. poeticis et verbis et formis non raro usus est Cratinus; at *Laconum* nomen sane dubitabile est. monui haec propter Cobetum Observ. Plat. 77', qui Aristobulum Cratino eam fabulam adfinxisse arbitratur. cf. quae ad Ἐμπιμπραμένους adnotavimus. — κταμένοις] de formis vocabulisque epicis quae apud comicos inveniuntur cf. quae congesta sunt Arist. Eq. 1296 et Vesp. 662. Av. 567. Cratin. 98, 1. 100. 126. 137. Hermipp. 55. Eupol. 14, 3. Plat. 153, 5. Anaxil. Athen. 12, 548c (7). Axionic. Athen. 8, 342b (7).

ΜΑΛΘΑΚΟΙ

Mollitiem luxuriamque Atheniensium circa belli Peloponnesiaci initium ingravescentem hac fabula reprehensam esse suspicatur Bergkius R. c. Att. 124. 5.

96

ἀμοργὸν ἔνδον βρυτίνην νήθειν τινά.

Hesychius βρυτίνη· ἐν Μαλθακοῖς· ἀμοργὸν ἔνδον βρυτίνην νήθειν τινά. ἔπαιξε πρὸς τὸ πόμα τὸ βρύτινον· ἔστι δὲ καὶ ζῷον βρῦτον, ὅμοιον κανθάρῳ, καὶ τὸ ἀπ' αὐτοῦ βρύτινον πήνισμα, ὅπερ ὑπ' ἐνίων βομβύκινον λέγεται. ad Cratini Malthacos pertinere vidit Salmasius Tertull. Pall. 197 cod. ἔνδον ‖ Βρυτίνην νίθειν τινα (sic); utrum ἀμοργὸν praebeat an ἄμοργιν, Schmidtii adnotatio incertum relinquit. ἀμοργίς est χιτὼν ἀμόργινος, ἄμοργις est *olei sedimentum*. Herod. I 87, 18 Lentz. τὰ εἰς γις πολυσύλλαβα, στρατηγίς, ἁλουργίς, ἀμοργίς. τὸ δὲ ἄμοργις ἡ ὑποστάθμη βαρύνεται. ceterum τὴν ἄμοργιν τὴν ἄλοπον, i. e. *byssum*, Arist. Lys. 737. Poll. 7, 74 τὰ δὲ ἀμόργινα γίνεσθαι μὲν τὰ ἄριστα ἐν τῇ Ἀμοργῷ, λίνου δ' οὖν καὶ ταύτας εἶναι λέγουσιν· ὁ δὲ ἀμόργινος χιτὼν καὶ ἀμοργὶς ἐκαλεῖτο. rursus βρύτινος est aut *byssinus* aut *hordeaceus*. Hesych. βρυτιγγοί (Salmasius βρύτινοι)· χιτῶνες. et βρυτίνην· βυσσίνην. idem βρῦτον· πᾶν τὸ ἐκ κριθῆς ποτόν (ubi cod. τρυφῆς, κριθῆς Schrewel.). et βρύττιον· πόμα ἐκ κριθῆς Etym. m. 216, 20 βρύτια, ἃ καὶ βρύτεα, τὰ τῆς σταφυλῆς πιέσματα, ἅ τινες στέμφυλα (Arist. Nub. 45) λέγουσιν . . . οἱ δὲ Ἀττικοί, τὰ τῶν ἐλαιῶν ἀλέσματα (πιέσματα vel πτίσματα Hemsterh.). Theophr. Hist. pl. 4, 8, 12 ταῦτα . . . ἑψοῦσιν ἐν βρυτῷ τῷ ἀπὸ τῶν κριθῶν. Athenaeus 10, 447b τὸν δὲ κρίθινον οἶνον καὶ βρῦτον τινὲς καλοῦσιν, testimonia Sophoclis, Archilochi, Aeschyli, Hellanici, Hecataei simul adferens. itaque prorsus ambiguum, utrum scribendum sit ἄμοργιν ἔνδον βρυτίνην ἠθεῖν τινα (ut de pingui et crasso hordeacei potus liquore, Graecorum iudicio

amurcae simili, percolando agatur) an ἀμοργίδ' (vel ἄμοργιν cum Aristophane) ἔνδον βρυτίνην νήθειν τινά. verbum νήθειν exstat apud Plat. Politic. 289c νήθειν τε καὶ ξαίνειν. attamen cum βρύτινος pro βύσσινος nusquam apud Atticos inveniatur et sola Hesychii nitatur auctoritate, altera interpretatio videtur praeferenda.

97

τίς ἄρ' ἐρῶντά μ' οἶδεν, ὦ Γνήσιππ', ἐγὼ πολλῇ χολῇ.
οἴομαι γὰρ μηδὲν οὕτως μῶρον εἶναι καὶ κενόν.

Athenaeus 14, 638e Γνησίππου τινὸς μνημονεύει παιγνιαγράφου τῆς ἱλαρᾶς μούσης . . . Κρατῖνος ἐν Μαλθακοῖς. ἐρῶντά Dalecampius] ἐρωτά. 2. γὰρ add. Grotius. — G. Hermannus εἶδεν —. B. ἐγὼ οὔ. πολλὴ σχολή. Dobr. Adv. II 348 Γνήσιππέ πω; πολλὴ χολή, conl. Arist. Ran. 4. pro μηδὲν alii μηδέν'. fortasse scribendum ὦ Γνήσιππ'; B. ἐγώ. A. πολλὴ χολή, sed talem versum emendare nihil aliud est quam in tenebris micare. de *Gnesippo* cf. fr. 15. — Herod. I 192, 26 Lentz μωρός καὶ μῶρος Ἀττικῶς. denique μηδὲν paullo insolentius posuit pro οὐδέν.

98

παντοίοις γε μὴν κεφαλὴν ἀνθέμοις ἐρέπτομαι
λειρίοις, ῥόδοις, κρίνεσιν, κοσμοσανδάλοις, ἴοις,
καὶ σισυμβρίοις, ἀνεμωνῶν κάλυξί τ' ἠριναῖς,
ἑρπύλλῳ, κρόκοις, ὑακίνθοις, ἑλειχρύσου κλάδοις,
οἰνάνθῃσιν, ἡμεροκαλλεῖ τε τῷ φιλουμένῳ,
*ἀνθρύσκου φόβῃ, * * * * * * * * **
τῷ τ' ἀειφρούρῳ μελιλώτῳ κάρα πυκάζομαι,
καὶ κύτισος αὐτόματος παρὰ Μέδοντος ἔρχεται.

Athenaeus 15, 685bc καὶ Κρατῖνος ἐν Μαλθακοῖς. Pollux 6, 106 τὰ δὲ ἐν τοῖς στεφάνοις ἄνθη, ῥόδα, ἴα, κρίνα, σισύμβρια, ἀνεμῶναι, ἕρπυλλος (ἕρπαλλοι cod. A), κρόκος, ὑάκινθος, ἑλίχρυσος, ἡμεροκαλλές, ἑλένειον, θρυαλλίς, ἀνθρίσκος (non -ύσκος), νάρκισσος, μελίλωτον, ἀνθεμίς, παρθενίς, καὶ τἆλλα ὅσα ἢ ὀφθαλμοῖς τέρψιν ἢ ῥισὶν ἡδεῖαν ὄσφρησιν παρέχει. μέμνηται δὲ τῶν πλείστων Κρατῖνος ἐν Μαλθακοῖς, ὥσπερ καὶ κοσμοσανδάλου καὶ σμίλου, ὅπερ ἦν τῆς σμίλακος ἄνθος. Athen. 15, 681b κοσμοσανδάλων δὲ μνημονεύει Κρατῖνος ἐν Μαλθακοῖς διὰ τούτων· κεφαλὴν — κοσμοσανδάλοις. 681a Κρατῖνος δ' ἐν Μαλθακοῖς φησιν· ἑρπύλλῳ — κλάδοις. 681e τοῦ ἡμεροκαλλοῦς καλουμένου ἄνθους, ὃ τὴν μὲν νύκτα μαραίνεται, ἅμα δὲ τῷ ἡλίῳ ἀνατέλλοντι θάλλει, μνημονεύει Κρατῖνος ἐν Μαλθακοῖς λέγων οὕτως· ἡμεροκαλλεῖ τε τῷ φιλουμένῳ. 685f Κρατῖνος . . . τῷ τ' ἀειφρούρῳ μελιλώτῳ.

Brunck I 164. τόδ' αὖ] τόδε Grotius Excerpt. 461. Meinekius in ed. min. haec adnotat: 'scriptorum loci, quos in illa de poetarum furtis affert Clemens disputatione, maximam partem sunt corruptissimi nec sine meliorum librorum ope sanandi. in altero versu nihil est quod non optimo quoque poeta dignum sit. poeticis et verbis et formis non raro usus est Cratinus; at *Laconum* nomen sane dubitabile est. monui haec propter Cobetum Observ. Plat. 77', qui Aristobulum Cratino eam fabulam adfinxisse arbitratur. cf. quae ad Ἐμπιμπραμένους adnotavimus. — κταμένοις] de formis vocabulisque epicis quae apud comicos inveniuntur cf. quae congesta sunt Arist. Eq. 1296 et Vesp. 662. Av. 567. Cratin. 98, 1. 100. 126. 137. Hermipp. 55. Eupol. 14, 3. Plat. 153, 5. Anaxil. Athen. 12, 548c (7). Axionic. Athen. 8, 342b (7).

ΜΑΛΘΑΚΟΙ

Mollitiem luxuriamque Atheniensium circa belli Peloponnesiaci initium ingravescentem hac fabula reprehensam esse suspicatur Bergkius R. c. Att. 124. 5.

96

ἀμοργὸν ἔνδον βρυτίνην νήθειν τινά.

Hesychius βρυτίνη· ἐν Μαλθακοῖς· ἀμοργὸν ἔνδον βρυτίνην νήθειν τινά. ἔπαιξε πρὸς τὸ πόμα τὸ βρύτινον· ἔστι δὲ καὶ ζῷον βρῦτον, ὅμοιον κανθάρῳ, καὶ τὸ ἀπ' αὐτοῦ βρύτινον πήνισμα, ὅπερ ὑπ' ἐνίων βομβύκινον λέγεται. ad Cratini Malthacos pertinere vidit Salmasius Tertull. Pall. 197 cod. ἔνδον ‖ Βρυτίνην νίθειν τινα (sic); utrum ἀμοργὸν praebeat an ἄμοργιν, Schmidtii adnotatio incertum relinquit. ἀμοργίς est χιτὼν ἀμόργινος, ἄμοργις est *olei sedimentum*. Herod. I 87, 18 Lentz. τὰ εἰς γις πολυσύλλαβα, στρατηγίς, ἀλουργίς, ἀμοργίς. τὸ δὲ ἄμοργις ἡ ὑποστάθμη βαρύνεται. ceterum τὴν ἄμοργιν τὴν ἄλοπον, i. e. *byssum*, Arist. Lys. 737. Poll. 7, 74 τὰ δὲ ἀμόργινα γίνεσθαι μὲν τὰ ἄριστα ἐν τῇ Ἀμοργῷ, λίνου δ' οὖν καὶ ταύτας εἶναι λέγουσιν· ὁ δὲ ἀμόργινος χιτὼν καὶ ἀμοργὶς ἐκαλεῖτο. rursus βρύτινος est aut *byssinus* aut *hordeaceus*. Hesych. βρυτιγγοί (Salmasius βρύτινοι)· χιτῶνες. et βρυτίνην· βυσσίνην. idem βρῦτον· πᾶν τὸ ἐκ κριθῆς ποτόν (ubi cod. τρυφῆς, κριθῆς Schrewel.). et βρύττιον· πόμα ἐκ κριθῆς Etym. m. 216, 20 βρύτια, ἃ καὶ βρύτεα, τὰ τῆς σταφυλῆς πιέσματα, ἅ τινες στέμφυλα (Arist. Nub. 45) λέγουσιν ... οἱ δὲ Ἀττικοί, τὰ τῶν ἐλαιῶν ἀλέσματα (πιέσματα vel πτίσματα Hemsterh.). Theophr. Hist. pl. 4, 8, 12 ταῦτα ... ἕψουσιν ἐν βρυτῷ τῷ ἀπὸ τῶν κριθῶν. Athenaeus 10, 447b τὸν δὲ κρίθινον οἶνον καὶ βρῦτον τινὲς καλοῦσιν, testimonia Sophoclis, Archilochi, Aeschyli, Hellanici, Hecataei simul adferens. itaque prorsus ambiguum, utrum scribendum sit ἄμοργιν ἔνδον βρυτίνην ἠθεῖν τινα (ut de pingui et crasso hordeacei potus liquore, Graecorum iudicio

brachus esse non possit. at cum prior pars Eupolidei Fritzschio ipso auctore nihil aliud sit quam glyconeus polyschematistus, tribrachum non excludendum esse docet Sophocles, qui Ant. 109 (*φυγάδα πρόδρομον ὀξυτέρῳ*) in utraque basi eum admisit. ceterum Hehnius (Kulturpfl. 355) qui cytisum apud Atticos ante Eupolidis Capras commemorari negat, hoc Cratini versu refutatur. *Medon* aliunde non cognitus. de floribus quos nominat poeta consulendus est Fraasius in Synopsi plant. flor. class.

99

Athenaeus 3, 111e *ἄρτου δ' εἶδός ἐστι καὶ ὁ ἀποπυρίας καλούμενος, ἐπ' ἀνθράκων δ' ὀπτᾶται. καλεῖται δ' οὗτος ὑπό τινων ξυμίτης· Κρατῖνος Μαλθακοῖς πρῶτον ἀποπυρίαν ἔχω ξυμητα-μιαδον πλέους κνέφαλλον.* sic A. Hesych. *ἀποπυρίας· ἄρτος ἐπ' ἀνθράκων ὀπτώμενος.* Casaubonus *ξυμίταν μὰ Δί' οὐ πλέων γναφάλων*, acerosum panem intellegens. Coraës *ξυμίταν, σποδοῦ πλέων, ἁπαλόν.* Meinekius *πρῶτον ἀποπυρίαν ἔχω ξυμίταν μὰ Δί' οὐ πλέον γναφάλλων.* 'quorum versuum' inquit 'alter est hendecasyllabus, qualis infra fr. inc. fab. XXII (fr. 321). dicebantur haec ab homine Doriensi. *γναφάλλων* verum esse docet Herodianus dict. solit. 39, 24 de nomine *κνέφαλλον* disserens: *ὥστε καὶ ἀντίθεσις ἐγένετο τοῦ ᾱ εἰς ε̄, ἐπεὶ παρὰ τὸ κνάφος ἐγένετο. εἰσὶ μέντοι οἳ καὶ διὰ τοῦ γ̄ γράφουσιν. ἔν τισιν ἐν Μαλθακοῖς Κρατίνου· παρεφύλαξε Σύμμαχος*'. cf. Herodian. I 319, 27 Lentz. Lehrsius (Herod. 139) 'ergo dicit: sunt etiam grammatici qui non tantum *κνέφαλλον* Atticis tribuant, sed etiam *γνέφαλλον*: quod in Cratini Malthacis codicum auctoritatem invenit'. et ibid. 140 'si verum est quod Meinekius conicit haec a Doriensi dicta fuisse, eo minus hunc versum fuisse putaverim, de quo hic Herodianus cogitaverit, sed ex eadem fabula alium'. non liquet.

100

λευκοὺς ὑπὸ ποσσὶν ἔχων πίλους.

Pollux 7, 171 *οὐ μόνον δὲ ὁ ἐπὶ τῆς κεφαλῆς ἐπιτιθέμενος πῖλος ἐκαλεῖτο, ἀλλὰ καὶ ὁ περὶ τοῖς ποσίν, ὡς δηλοῖ Κρατῖνος ἐν Μαλθακοῖς* et 10, 50 *τοὺς δὲ περὶ τοῖς ποσὶ πίλους . . . (καλεῖ) καὶ Κρατῖνος ἐν Μαλθακοῖς.* utrubique Pollux cum Cratino Platonem coniungit Symp. 220b. *ποσσὶν* Meinek.] *ποσὶν.* videtur enim fragmentum esse versus anapaestici. quamquam de ea re dubitari potest. bene Hemsterhusius confert Lucian. Rhet. praec. 16 *ἡ ἐμβὰς (ἔστω) Σικυωνία πίλοις τοῖς λευκοῖς ἐπιπρέπουσα*: nam quos Alcibiades commemorat apud Platonem *πίλους*, ei profecto multum a Cratineis differebant. de forma epica (*ποσσίν*) cf. fr. 95.

2. κρίνεσιν Porson. ap. Dobr. Arist. Nub. 21] κρίνοις. κρίνοισι 681 b. κοσμοσανδάλοις] κοσμοσανδάλλος A 681 b. 3. ἀνεμωνῶν Mein.] ἀνεμώνων. κάλυξί τ'] κάλυξιν Porson. 4. ὑακίνθοις 681 a] ὑακίνθῳ. ἑλειχρύσου Meinek. ed. min. praef. VI] ἑλιχρύσου. 6. ἀνθρύσκου Schweigh.] ἀνθρυσκίσσου A, quae videtur esse duplex lectio ἀνθρυσκου (suprascr. ισκ). lacunam indicavit Schweigh. eam ante ἀνθρύσκου ponit Fritzschius (Fragm. Eup. v. 9), ut ἀνθρύσκου φόβῃ versus claudatur. 6. φόβῃ τῷ τ' correctum ex 685 f τῷ τ' ἀειφρούρῳ] φοβήτω τ'. 7. ἀειφρούρῳ Canterus] ἀεὶ φρούρῳ utrubique. 8. καὶ] cum una syllaba desit, κἀμοὶ Porsonus, καὶ γὰρ G. Hermannus El. doctr. metr. 685, καὶ δὴ Meinekius. praeterea v. 6. 7 Bergkius R. c. Att. 128 adhibito ad emendandum Polluce ἀνθρύσκου . . . . | ναρκίσσου φόβῃ θ', ἑλενείῳ τε καὶ θρυαλλίδι. Meinekius, cum Pollux diserte μῖλον ex Cratino adferat, ἀνθρύσκου φόβῃσι τε καὶ σμίλῳ καὶ θρυαλλίδι. ego de lacuna cum Fritzschio consentiens scripserim σμίλῳ, ναρκίσσῳ θ' ἑλενείῳ τε κἀνθρύσκου φόβῃ.

ex parabasi hos versus excerptos esse recte statuit Bergkius R. c. Att. 125. Meinekium miror eum qui haec recitet cum maxime in ornando coronandoque capite occupatum esse opinantem. praesenti enim tempore ut saepe consuetudo indicatur. cf. simillimam Eupolidis parabasin fr. 159. — 1. ἐρέπτομαι pro ἐρέφομαι Attici alibi non videntur dixisse. Pind. Pyth. 4, 240 (426) φίλας ὤρεγον χεῖρας στεφάνοισί τέ νιν ποίας ἔρεπτον. Oppian. Cyneg. 4, 262. 4. ἑλειχρύσου, cum ab ἕλος derivatum sit, recte scripsit Meinekius. ac sic cod. Urb. Theophr. H. pl. 9, 19, 3. cf. Lob. Phryn. 686. Pathol. elem. I 473 et Theophr. H. pl. 6, 8, 1. formatum est ut ὀρειβάτης, ὀρειγενής, ὀρείκτιτος, ὀρειδρόμος, ὀρεινόμος, ὀρείπλαγκτος, ὀρείχαλκος, quae paene omnia Attici usurpaverunt. etiam apud Plinium N. h. 21, 65. 6. 168 codices variant. 5. Hesych. ἡμεροκαλλές· τῶν σπορίμων ἄνθος. ἢ στεφάνωμα . . . οἱ δὲ ἄνθος πρὸς μίαν ἡμέραν ἀκμάζον. cf. Phot. ἡμεροκαλλές. φιλουμένῳ] Plat. Symp. 201 c ὦ φιλούμενε Ἀγάθων, Lys. 212 b ὁ φιλούμενος et τοῦ φιλουμένου. Leg. 5, 731 e τυφλοῦται περὶ τὸ φιλούμενον ὁ φιλῶν, ac sic nomina orta sunt Φιλούμενος et Φιλουμένη. de rebus tamen alibi legi non memini. itaque dubito an scribendum sit φιληλίῳ. cf. Athen. 15, 685 f. Plin. H. n. 21, 168. 7. Hesych. ἀείφρουρος· ἀεὶ διαμένων, ἀειθαλής. Σοφοκλῆς Τηλέφῳ. sic Porsonus (apud Dobr. Arist. Nub. 518), qui Cratinum ad Sophoclis imitationem ita scripsisse conicit. at cum ἀείφρουρος quid valeat ex Soph. Ant. 891 (οἴκησις ἀείφρουρος) perspiciatur, apud Hesychium autem hodie recte sine dubio scribatur ἀειφόρος· ἀειθαλής. Σοφοκλῆς Τηλέφῳ (Nauck. fr. 519), deinde ἀείφρουρος· ἀεὶ διαμένων (διαμένουσα M. Schmidtius, ut ad Antigonam referatur), etiam apud Athenaeum scribendum esse arbitror τῷ τ' ἀειφόρῳ μελιλώτῳ. 8. κύτισος a Fritzschio condemnatur, quod secundus pes versus Eupolidei tri-

brachus esse non possit. at cum prior pars Eupolidei Fritzschio ipso auctore nihil aliud sit quam glyconeus polyschematistus, tribrachum non excludendum esse docet Sophocles, qui Ant. 109 (*φυγάδα πρόδρομον ὀξυτέρῳ*) in utraque basi eum admisit. ceterum Hehnius (Kulturpfl. 355) qui cytisum apud Atticos ante Eupolidis Capras commemorari negat, hoc Cratini versu refutatur. *Medon* aliunde non cognitus. de floribus quos nominat poeta consulendus est Fraasius in Synopsi plant. flor. class.

99

Athenaeus 3, 111e *ἄρτον δ' εἶδός ἐστι καὶ ὁ ἀποπυρίας καλούμενος, ἐπ' ἀνθράκων δ' ὀπτᾶται. καλεῖται δ' οὗτος ὑπό τινων ζυμίτης: Κρατῖνος Μαλθακοῖς πρῶτον ἀποπυρίαν ἔχω ζυμηταμιαδον πλέους κνέφαλλον.* sic A. Hesych. *ἀποπυρίας· ἄρτος ἐπ' ἀνθράκων ὀπτώμενος.* Casaubonus *ζυμίταν μὰ Δί' οὐ πλέων γναφάλων*, acerosum panem intellegens. Coraës *ζυμίταν, σποδοῦ πλέων, ἀπαλόν.* Meinekius *πρῶτον ἀποπυρίαν ἔχω ζυμίταν μὰ Δί' οὐ πλέον γναφάλλων.* 'quorum versuum' inquit 'alter est hendecasyllabus, qualis infra fr. inc. fab. XXII (fr. 321). dicebantur haec ab homine Doriensi. *γναφάλλων* verum esse docet Herodianus dict. solit. 39, 24 de nomine *κνέφαλλον* disserens: *ὥστε καὶ ἀντίθεσις ἐγένετο τοῦ ᾱ εἰς ε̄, ἐπεὶ παρὰ τὸ κνάφος ἐγένετο. εἰσὶ μέντοι οἳ καὶ διὰ τοῦ γ̄ γράφουσιν. ἔν τισιν ἐν Μαλθακοῖς Κρατίνου· παρεφύλαξε Σύμμαχος*'. cf. Herodian. I 319, 27 Lentz. Lehrsius (Herod. 139) 'ergo dicit: sunt etiam grammatici qui non tantum *κνέφαλλον* Atticis tribuant, sed etiam *γνέφαλλον*: quod in Cratini Malthacis codicum auctoritatem invenit'. et ibid. 140 'si verum est quod Meinekius conicit haec a Doriensi dicta fuisse, eo minus hunc versum fuisse putaverim, de quo hic Herodianus cogitaverit, sed ex eadem fabula alium'. non liquet.

100

λευκοὺς ὑπὸ ποσσὶν ἔχων πίλους.

Athenaeus 15, 690 d βρενθίου δὲ μύρου μνημονεύει Φερεκράτης ἐν Λήροις οὕτως κτλ. ἐγχέασθε — βρένθειον — ἐγχέω Meinek.] ἐγχέασθαι — μύρον βρένθιον — ἐγχέῃ. εἰσιοῦσιν cod. Marc. (A) Cobet. Orat. 127] ἰοῦσιν. ἐγχέω post ἐγχέασθε suspectum est. ἐγγυῶ Bothius. an εἰσιοῦσι μεταδιδῶ? audacius Herwerd. Mnem. nov. VI 57 ἐγκεράσαι μύρον | βρένθειον — ἐγχέαι.

102

ὡς οὐχὶ τουτὶ ῥύγχος ἀτεχνῶς ἔσθ' ὑός.

Athenaeus 3, 95 d Φερεκράτης Λήροις. antecessit opinor μὴ λέγε. scaena similis videtur Aristoph. Ach. 768 sq.

103

τὸ δ' ὄνομά μοι κάτειπε τί σε χρῆσται καλεῖν.

Suidas χρή· λέγουσι δέ ποτε καὶ χρῆσθαι ἀντὶ τοῦ δεῖ. Φερεκράτης Λήροις κτλ. χρῆσται G. Hermann. Soph. OCol. 504] χρῆσθαι. futurum est, conglutinatum ex χρὴ ἔσται. Phryn. 34. Aristoph. fr. 362.

104

ἀπὸ τηγάνου τ' ἔφασκεν ἀφύας φαγεῖν.

Athenaeus 6, 228 e τήγανον δ' εἴρηκεν ἐν μὲν Λήροις Φερεκράτης οὕτως κτλ. Eustathius 1862, 18. Dindorfius ἀφύας ἂν φαγεῖν. sed sunt fortasse tetrametri ἀπὸ τηγάνου τ' ἔφασκεν | ἀφύας φαγεῖν. sic Meinekius.

105

λαβοῦσα μὲν τῆς χοίνικος τὸν πύνδακ' εἰσέκρουσεν.

Pollux 10, 79 τὸν πυθμένα καὶ πύνδακα ἄλλοι τε καὶ Φερεκράτης ἐν Λήροις (εἶπε) κτλ. Dobraeus Adv. I 578 λαβοῦσα μέντοι χοίνικα | τὸν πύνδακ' εἰσέκρουσε. Meinekius λαθοῦσα pro λαβοῦσα. unum tetrametrum esse existimavit Bentleius Epist. Hemsterhus. 99. Theophr. Char. 11 (αἰσχροκερδείας ἐστὶ) μέτρῳ τὸν πύνδακα ἐγκεκρουμένῳ μετρεῖν τοῖς ἔνδον (i. e. *servis*) τὰ ἐπιτήδεια. fortasse antecedebat accusativus, unde genetivus penderet.

106

ἔπειθ' ἕτερα τούτων ποιοῦντα πολλὰ κυντερώτερα.

Photius κυντερώτατα· καὶ κυντατώτατα λέγουσιν ... Φερεκράτης Λήροις κτλ. Porsonus ἔπειτα καὶ ἕτερα i. e. χἄτερα. fortasse sunt dimetri ἔπειθ' ἕτερα τούτων ποιοῦν | τα π. κτλ. Meinekius V 27 πονοῦντα pro ποιοῦντα. an παθόντα? ut κυντερώτερος, sic Homerus χειρότερος, Mimnermus Stob. 7, 12 ἀμεινότερος, Aristoph. Eq. 1165 προτεραίτερος (Meinek.).

107

κυάθιον ἀργυροῦν

Pollux 6, 105 τὰ δὲ ἀγγεῖα τῶν μύρων λήκυθος μυρηρά, καὶ ἀλάβαστρος. Φερεκράτης δὲ ἐν Λήροις εἴρηκε καὶ κυάθιον ἀργυροῦν, ᾧ τὸ μύρον ἐγχέομεν. Athenaeus 10, 424 b Φερεκράτης δ' ἐν Λήροις κύαθον ἀργυροῦν ὠνόμασε.

ΜΕΤΑΛΛΗΣ

Edita est post Teleclidis Amphictyones, ante Aristophanis Tagenistas. Athen. 6, 268 e. idem 15, 685 a ὁ πεποιηκὼς τοὺς εἰς αὐτὸν (Φερεκράτη) ἀναφερομένους Μεταλλεῖς. Nicomacho tribuit Eratosthenes Harpocrat. 243. cf. Phot. εὐθὺ Λυκείου· τὸ εἰς Λύκειον, ὅθεν Ἐρατοσθένης καὶ διὰ τοῦτο ὑποπτεύει τοὺς Μεταλλεῖς, scilicet quod εὐθὺς Λυκείου (sic enim legendum) scripserit pro εὐθὺ Λυκείου. cf. Eurip. Hippol. 1197. Lobeck. Phryn. 144. Meinek. I 69 et de Nicomacho I 75—77. Pherecratem fabulam scripsisse, Nicomachum διασκευάσαι opinio est Meinekii II 308 sq. mortuorum felicitatem prae vivorum condicione poeta praedicat atque ita rem instituit, ut mulier quae ad inferos descenderat in terram remissa cum aliis mulierculis de ea re confabuletur. descendisse autem videtur per metalli fodinas Laureoticas (Mein. II 301).

108

πλούτῳ δ' ἐκεῖν' ἦν πάντα συμπεφυρμένα,
ἐν πᾶσιν ἀγαθοῖς πάντα τρόπον εἰργασμένα·

ποταμοὶ μὲν ἀθάρης καὶ μέλανος ζωμοῦ πλέῳ
διὰ τῶν στενωπῶν πυμφολυγοῦντες ἔρρεον
αὐταῖσι μυστίλαισι, καὶ ναστῶν τρύφη,
ὥστ' εὐμαρῆ γε καὐτομάτην τὴν ἔνθεσιν
χωρεῖν λιπαρὰν κατὰ τοῦ λάρυγγος τοῖς νεκροῖς.
φύσκαι δὲ καὶ ζέοντες ἀλλάντων τόμοι
παρὰ τοῖς ποταμοῖς σίζοντ' ἐκέχυτ' ἀντ' ὀστράκων.
καὶ μὴν παρῆν τεμάχη μὲν ἐξωπτημένα
καταχυσματίοισι παντοδαποῖσιν εὐπρεπῆ,
τεύτλοισί τ' ἐγχέλεια συγκεκαλυμμένα.
σχελίδες δ' ὁλόκνημοι πλησίον τακερώταται
ἐπὶ πινακίσκοις, καὶ δίεφθ' ἀκροκώλια
ἥδιστον ἀπατμίζοντα, καὶ χόλικες βοός,
καὶ πλευρὰ δελφάκει' ἐπεξανθισμένα
χναυρότατα παρέκειτ' ἐπ' ἀμύλοις καθήμενα.
παρῆν δὲ χόνδρος γάλατι κατανενιμμένος
ἐν καταχύτλοις λεκάναισι καὶ πυοῦ τόμοι.
Β. οἴμ' ὡς ἀπολεῖς μ' ἐνταῦθα διατρίβουσ' ἔτι,
παρὸν κολυμβᾶν ὡς ἔχετ' εἰς τὸν Τάρταρον.
Α. τί δῆτα λέξεις, τἀπίλοιπ' ἤνπερ πύθῃ;
ὀπταὶ κίχλαι γὰρ εἰς ἀνάβραστ' ἠρτυμέναι
περὶ τὸ στόμ' ἐπέτοντ' ἀντιβολοῦσαι καταπιεῖν,
ὑπὸ μυρρίναισι κἀνεμώναις κεχυμέναι.
τὰ δὲ μῆλ' ἐκρέματο τὰ καλὰ τῶν καλῶν ἰδεῖν
ὑπὲρ κεφαλῆς, ἐξ οὐδενὸς πεφυκότα.
κόραι δ' ἐν ἀμπεχόναις τριχάπτοις ἀρτίως
ἡβυλλιῶσαι τὰ ῥόδα καὶ κεκαρμέναι
πλήρεις κύλικας οἴνου μέλανος ἀνθοσμίου
ἤντλουν διὰ χώνης τοῖσι βουλομένοις πιεῖν.
καὶ τῶνδ' ἑκάστοτ' εἰ φάγοι τις ἢ πίοι,
διπλάσι' ἐγίγνετ' εὐθὺς ἐξ ἀρχῆς πάλιν.

Athenaeus 6, 268 e *ἀπομνημονεύσω κατὰ τὴν τάξιν καὶ τὰ τοῖς ἄλλοις εἰρημένα ποιηταῖς, ὧν εἷς ἐστιν ὁ ἀττικώτατος Φερεκράτης, ὃς ἐν μὲν τοῖς Μεταλλεῦσί φησιν κτλ.* v. 3—24 Pollux 6, 58, omissis 6. 7. 20. 21. 22. v. 30. 1 *κύλικας—χώνης* Pollux 10, 75. cf. Eustath. 1095, 18 sq. 3. *ἀθάρης*] *ἀθάρας* codices Pollucis. *ἀθάρη* semper Attici. cf. Herodian. I 340, 13 Lentz. *πλέῳ* Dindf.] *πλέοι.* A Poll. *πλέον.* 4. *πομφολυγοῦντες* 'scripta quaedam antiqua manu' Casaub.] *τονθολυγοῦντες.* cod. Pollucis *τονθορυγοῦντες* (*θορυβοῦντες* A).

cf. Aristoph. Ran. 249 cum eis quae adnotavimus. 6. γε Dind.] τε Casaub., ἦγεν codices. καὐτομάτην Casaub.] αὐτόματ' εἰς. cf. Aristoph. Pac. 665. Lys. 431. 8. δὲ Athen.] τε Poll. AC. 9. σίζοντ' ἐκέχυτ' Poll.] σίζοντες ἐκέχυντ' Athen. 11. εὐπρεπῆ] εὐτρεπῆ cod. Pollucis. v. 12 additus ex Polluce. ἐγχέλεια Schweighaeuser] ἐγχέλυα. ἐγχελύδι' ἐγκεκαλυμμένα Herwerden. Obs. crit. 13. 13. σχελίδες Poll. et Athen. C] σκελίδες. ac sic Bekkerus in Poll. 2, 191. 14. πινακίσκοις] πινακίσκων Pollux. 15. ἀπατμίζοντα Dindorf] ἀτμίζοντα. Bekker. Anecd. 7, 1 ἀτμίζον κρέας, οἷον θερμὸν ἐκ τῆς χύτρας ἀνῃρημένον, ἔτι τὴν ἀτμίδα ἀναβάλλον. χόλικες Ath.] χόλιξ Poll. 17. χναυρότατα παρέκειτ'] χαυνώρατ' ἐπέκειτ' A Poll. ἀμύλοις Ath.] ἀμύλων Poll. 18. γάλατι Dindorf. Fr. Aristoph. p. 231] γάλακτι. cf. γαλατοθρέμμονα Antiphan. 52, 4. κατανενιμμένος Ath.] μεμιγμένος Poll. 19. πύου τόμοι Villebrun] πυοτομοι AAth. ἀμύλου τόμοι codices Poll. 23. ὀπταὶ] ὀπταὶ καὶ A Ath. γὰρ εἰς ἀνάβραστ' Meinekius] γὰρ εἰς ἀναβράσεις. ἀναβράσεις. ἀνάβραστ' (sic) A Ath. ἐπὶ τοῖσδ' ἀνάβραστ' Poll. 26. ἐκρέματο Porson.] ἐκρέμαντο. 27. οὐδενὸς Dindorf.] οὐθενός. 28. ἀμπεχόναις BC] ἀμπεχόναισι VL. 29. τὰ ῥόδα καὶ K.] καὶ τὰ ῥόδα. sequenti enim ῥ semper producitur vocalis quae proxime antecedit. inversus erat ordo verborum falsa recordatione Aristoph. Ran. 516. 32. ἑκάστοτ' Iacobs. Add. Ath. 160] ἕκαστος. ἑκάστων Meinek. 33. ἐγίγνετ'] ἐγίνετ' A.

versus 2 interpolatus videtur; Atticae certe dicendi consuetudini non convenit. si quid mutandum est, neque Bergkii (R. c. Att. 291) coniectura ὠργασμένα neque Herwerdeni (Obs. crit. 12) ἠρτυμένα admitti potest, sed scribendum ᾠκισμένοις. nam ζῆν ἐν πᾶσιν ἀγαθοῖς (λαγῴοις Aristoph. Vesp. 709) Attici dicunt. v. 5—9 valde perturbati sunt (cf. Herwerd. Obs. crit. 13. Nov. add. crit. 5), siquidem neque ναστῶν τρύφη habent quo referantur neque σίζοντ' ἐκέχυτ' bene cum φύσκαι et τόμοι coniungitur: quae syntaxis non recte defenditur a Bergkio conl. Aristoph. Nub. 472. Herwerdenus φύσκαι δὲ καὶ σίζοντες ἀλλάντων τόμοι παρὰ τοῖς ποταμοῖσιν ἐξεκέχυντ', Dobraeus Adv. II 313 παρὰ τοῖς ποταμοῖσιν ἐξέκειντ'. mihi versus transponendi videntur sic: 5. 9. 10. 11. 6. 7. 8. 12. v. 21 Meinekius ὡς ἔχομεν εἰς Τάρταρον. vel ὡς ἔχω 'ς τὸν Τάρταρον (Anal. 118). non recte, si quid video: nam ad fabulosam orci descriptionem altera mulier acerba cum inrisione respondet 'quid igitur mihi hic diutius remanens taedium adfers, cum tibi tuisque liceat confestim in Tartarum desilire, i. e. in malam crucem abire?' v. 25 κεχυμένας scribendum est: nam convivantes sub myrtis recubant, non aves. v. 26 scribo τὰ δὲ μῆλ' ἐκρέματο πάγκαλα τῶν Κυδωνίων. cf. Athen. 3, c. 81 sq. nam τὰ καλὰ τῶν καλῶν neque eis quae Meinekius dixit I 69 neque Aesch. Pers. 681. Soph. OR. 465. OC. 1238. Philoct. 65. Diocl. 2 aut qui versus prorsus ambiguam habet interpretationem Soph. El. 849 satis defenditur.

3. *ἀθάρης*. Bekker. Anecd. 10, 12 ἀθάρη διαφέρει ἔτνους, ὅτι τὸ μὲν κυάμων ἢ πισῶν ἢ ἁπλῶς κατερεικτῶν τινῶν, ἡ δὲ ἀθάρα πυρῶν ἡψημένων καὶ διακεχυμένων ὥσπερ ἔτνος. Herodian. I 340, 13 Lentz. ἀθάρη. ἔστι δὲ σιτῶδές τι ἑψητόν, ὅπερ ἐν τῇ συνηθείᾳ λάθυρον καλοῦσι. 5. Athen. 14, 646 e *ναστὸς* πλακοῦντος εἶδος ἔχων ἔνδον καρυκείας. 13. Hesych. *σχελίδες*· κρέα ἐπιμήκη τετμημένα. 14 et 17 *ἐπί* apud Pollucem *cum genetivo* coniungitur: cf. tamen Teleclid. 1, 7. 32, 2. Philem. 17. 16. *ἐπεξανθισμένα* i. e. *desuper tosta*, ut flavum colorem prae se ferant. Aristoph. Ach. 1047. 18. *κατανενιμμένος* Meinekius (Anal. Ath. 118) ita probat, ut deducatur a κατανίφω, '*lacte tamquam nive sparsus*'. 19. *καταχύτλοις λεκάναισι*. cf. Cratin. 234. Herwerd. Obs. crit. 13. 14. ibidem scribendum est *πνοῦ* (non πύον). cf. Cratin. 142. 21. *κολυμβᾶν* comice pro ἀποφθαρῆναι. Timon. Phlias. Diog. L. 4, 33 νήξομαι εἰς Πύρρωνα (Mein. V 28). sic ἀποπλεῖν Aristoph. fr. 142. 28. *τριχάπτοις*. Phot. τρίχαπτον· τὸ βαμβύκινον ὕφασμα· ἱμάτιον πολυτίμητον. cf. Poll. 10, 32.

109

ὑπ' ἀναδενδράδων ἁπαλὰς ἀσπαλάθους πατοῦντες
ἐν λειμῶνι λωτοφόρῳ, κύπειρόν τε δροσώδη,
κἀνθρύσκου μαλακῶν τ' ἴων λείμακα καὶ τριφύλλου.

Athenaeus 15, 685 a ὁ δὲ πεποιηκὼς τοὺς εἰς αὐτὸν (Φερεκρ.) ἀναφερομένους Μεταλλεῖς φησίν· ὑπ' ἀναδενδράδων κτλ. 1. πατοῦντες Dindorfius ex B] πατῶντας. 3. λείμακα Canterus] λίμακα. versus sunt Priapei tertii, in quorum tertio choriambus est in sede secunda. vita defunctorum in Elysio describi videtur. Bekker. Anecd. 203, 28 ἀναδενδράδες· τὰ κλήματα τῆς ἀμπέλου τὰ ὑπερμήκη. Cramer. Anecd. Ox. II 335, 33 ἀναδενδράς· ἡ ἄμπελος ἡ πρὸς τὸ δένδρον ἀνερχομένη. de *cypiro* cf. Aristoph. Ran. 244 cum interpr. Suidas λεῖμαξ· ὁ σύμφυτος τόπος, ὁ κῆπος. — versus primus nequaquam sanus est. ἀσπάλαθος (εὐώδης Theophr. fr. 4, 7, 33 p. 83 Wimmer) alibi semper est masculinum, neque ἁπαλός dici potest; nam est φυτὸν ἀκανθῶδες (Bekker. Anecd. 10, 9). Plat. Reip. 10, 616 a τὸν Ἀρδιαῖον καταβαλόντες καὶ ἐκδείραντες εἷλκον . . . ἐπ' ἀσπαλάθων, de quo supplicii genere cf. Wesseling. Herod. 1, 92. accedit quod ὑπό cum genetivo hic non recte coniungitur. itaque non sufficiunt neque Pursani ἀσπαράγους neque Herwerdeni (Obs. crit. 14) ἁπαλῶν vel ἀταλούς, sed scribendum *ὑπ' ἀναδενδράδων πετάλοις* '*sub arbustorum foliis*'.

110

Photius *εὐθὺς Λυκείου*· τὸ εἰς Λύκειον. ὅθεν Ἐρατοσθένης

καὶ διὰ τοῦτο ὑποπτεύει τοὺς Μεταλλεῖς. εὐθὺς Meinek.] εὐθύ. cf. quae supra ad titulum fabulae adnotavimus.

111

Erotianus 44, 5 Klein. ἀρμῷ· ἡσυχῇ, μικρῷ. ὡς καὶ Φερεκράτης ἐν Μεταλλεῦσιν. Hesych. ἀρμοῖ· ἀρτίως, ἡσυχῇ, ἐξαίφνης, προσφάτως. et ἁρμῷ· ἀρτίως. vox est Dorica, Siculis maxime usitata. Pindar. ap. Eustath. Vit. Pind. 12 ἐλπίσιν ἀθανάταις ἀρμοῖ φέρονται. Aesch. Prom. 615 ἀρμοῖ πέπαυμαι . . . θρηνῶν. Pherecrates fortasse in parodia ea usus erat. Bergk. R. c. Att. 290.

ΜΕΤΟΙΚΟΙ

Fortasse Platoni tribuenda. Mein. I 70.

112

Apollonius De pron. p. 113, 17 Schneid. ἐν Μετοίκοις Φερεκράτους ἅπαξ ἐστὶν εἰρημένη (ἡ εὐθεῖα ἐμαυτός) καὶ ἴσως ἕνεκα τοῦ γελοίου.

ΜΥΡΜΗΚΑΝΘΡΩΠΟΙ

Cum ex Athenaeo (8, 335 a) Deucalionis in hac comoedia partes fuisse constet et titulus optime ad formicas in homines transformatas referatur, Pherecrates fabulas de diluvie Deucalionea, quae etiam ad Atticam pertinebat (Paus. 1, 18, 7. 8), et de formicis a Iove Aeaci gratia in homines commutatis videtur coniunxisse. cui opinioni fragmenta paene omnia favent. cf. Hesiod. Schol. Pind. Nem. 3, 21. Strab. 7, 322. 8, 375. Ovid. Met. 7, 517 sq. Hygin. fab. 52.

113

Α. τί ληρεῖς; ἀλλὰ φωνὴν οὐκ ἔχειν
ἰχθύν γέ φασι τὸ παράπαν. Β. νὴ τὼ θεώ,
κοὐκ ἔστιν ἰχθὺς ἄλλος οὐδεὶς ἢ βόαξ.

Etymol. m. 218, 31 Ἡρωδιανὸς δέ φησι καὶ δισυλλάβως λέγεσθαι (βῶκα), ὡς . . . Φερεκράτης εἰπών· τί ληρεῖς; κτλ. Athenaeus 7, 287 a Φερεκράτης δ' ἐν Μυρμηκανθρώποις εἰπών 'ἄλλον φωνὴν οὐκ ἔχειν ἰχθύν φασι τὸ παράπαν' ἐπιφέρει 'νὴ τὼ θεώ, οὐκ ἔστιν ἄλλος ἰχθὺς οὐδεὶς ἢ βόαξ'. Zonaras 413 καὶ Φερεκράτης· οὐκ ἔστιν ἄλλος οὐδεὶς ἢ βόαξ. 3. οὐδεὶς ἢ Etym. Zonar.] οὐδὲ εἷς A Ath. Blomfieldus initio versus subsequentis excidisse putabat φωνεῖν δυνάμενος· fortasse nihil deest nisi λάλος. Meinekius cum cod. A Athenaei scribendum censebat οὐδὲ εἷς, ut βόαξ esset pro praedicato. ludit in verbis βοᾶν et βόαξ. Athen. 7, 287 a ὠνομάσθη

(ὁ βόαξ) παρὰ τὴν βοήν. διὸ καὶ Ἑρμοῦ ἱερὸν εἶναι λόγος τὸν ἰχθύν. cf. 325 b. verba νὴ τὼ θεώ demonstrant eorum qui conloquuntur alteram mulierem esse. quaerunt autem piscesne omnes sint surdi. non credenti pisces loqui posse mulier adsentitur uno excepto boace.

114

ἀλλ' ὡς τάχιστα τὸν γέρονθ' ἱστὸν ποίει
[ἀφ' οὗ τὸ λίνον ἦν].

Pollux 7, 73 τὸ ἐργαλεῖον καθ' οὗ ἔκλωθον ἐξαρτῶντες τὰ στυππεῖα γέρων ἐκαλεῖτο. ἦν δὲ ξύλου πεποιημένον κιόνιον, σχῆμα Ἑρμοῦ τετραγώνου ἔχον, ᾧ γέροντος ἐπῆν πρόσωπον, ἀφ' οὗ καὶ τοὔνομα. Φερεκράτης δέ φησιν ἐν Μυρμηκανθρώποις· ἀλλ' ὡς κτλ. verba quae uncis inclusi Pherecratis sint an Pollucis dubitatur. Deucalioni Pyrrha ingruente eluvione suadere videtur, ut fuso utatur pro malo.

115. 116

γελῶντα καὶ χαίροντα καὶ τεθολωμένον.
ὑπὸ τῆς ἀνίας ἀνεθολοῦθ' ἡ καρδία.

Photius, Etym. m. 750, 10, Suidas τεθολωμένος· καὶ ἐπὶ χαρᾶς. Φερεκράτης Μυρμηκανθρώποις· γελῶντα κτλ. καὶ ἐπὶ λύπης· ὑπὸ τῆς ἀνίας κτλ. Hesych. ἀνεθολοῦτο· ἀνεταράσσετο. Bekker. Anecd. 12, 23 ἀναθολοῦσθαι· ἀναταράττεσθαι. παρὰ τὸν θόλον τῆς σηπίας. ἀνεθολοῦθ' Porson.] ἀλεθόλου δ' cod. Phot. ἀπεθολοῦτο Suid. ἀνεθόλου δὲ V Etym. et Etym. Milleri (Mélanges 279). ὑπὸ τῆς ἀνίας] ἐπὶ τῆς ἀνίας ἀνεθόλου δ' ἡ M Etym. ἀνοίας Etym. vulgo. Eur. Alc. 1067 θολοῖ δὲ καρδίαν.

117

οἴμοι κακοδαίμων, αἰγὶς αἰγὶς ἔρχεται.

Suidas αἰγίς· καταιγίς. Φερεκράτης Μυρμηκανθρώποις κτλ. cf. Aristoph. Ran. 847. 8. significatur tempestas ingruens, quam sine dubio diluvies sequebatur. cf. fr. 114. non audiendus Fritzschius Aristoph. Thesm. 100.

118

ὕστερον ἀρᾶται κἀπιθεάζει τῷ πατρί.

Suidas ἀρ˜ται· εὔχεται, ἢ καταρᾶται. Φερεκράτης Μυρμηκανθρώποις κτλ. Bekkeri Anecd. 442, 16 ἀρᾶται· . . . Φερεκράτης· ὕστερον — πατρί. Eustath. 1438, 37. Hesych. ἐπιθεάζει· θεοὺς ἐπικαλεῖται. ἐπιθεάζει Bekk. An. Eust. Hes.] ἐπιθειάζει Suid. (ἐπιθυάζει V). cf. etiam Schol. Hom. Od. 2, 135 et Hemsterhus. Thucyd. 2, 75. intellegen-

dus est Aeacus, qui civibus amissis *Iovem patrem* precatur ut alios sibi det quoquo modo creatos.

119

ξένη γυνὴ γραῦς ἀρτίως ἀφιγμένη.

Bekker. Anecd. 448, 6 et Suidas *ἀρτίως· τελείως, ὑγιῶς. οὐ μόνον δὲ ἄρτι τὸ πρὸ ὀλίγου. Φερεκράτης Μυρμηκανθρώποις κτλ.* si vera sunt quae de argumento fabulae dixi, Pyrrha significari videtur, nescio quo casu cum Deucalione Aeginam delata.

120

μηδέποτ' ἰχθύν, ὦ Δευκαλίων, μηδ' ἢν αἰτῶ παραθῇς μοι.

Athenaeus 8, 335a *κατὰ τοὺς Φερεκράτους Μυρμηκανθρώπους.* Eustathius 1720, 46. *ἢν* Dind.] *ἂν.* taedio nescio quis captus consumptorum tam diu piscium Deucalionem obsecrat ne umquam posthac pisces sibi adponat. pessime Bothius Deucalionem servum esse opinabatur, quippe qui numquam tali nomine vocentur.

121

*ἆρα προθύμως * * * **
καὶ τῆς ὀροφῆς τὸν χοῦν ἡμῶν
κατὰ τῆς κεφαλῆς καταμήσονται
λαγαριζόμενοι.

Schol. Aristoph. Vesp. 674 *τὸ δὲ λαγαρύζεσθαι ἕτερόν τι. ἔοικεν ἐμφαίνειν. Φερεκράτης Μυρμηκανθρώποις ἀντὶ τοῦ σιδαλεύειν* (*σκαλ.* Mein.) *ἆρα ποθ' ὑμεῖς καὶ τῆς ὀροφῆς τὸν χοῦν κατὰ τῆς κεφαλῆς κατακοιμήσονται λαγυριζόμενοι* (verba Pherecratis in solo V exstant). Hesych. *χοῦς· καὶ τὸ ἐπιβαλλόμενον τῷ ὀρόφῳ χῶμα.* Hesych. et Photius *λαγαριζόμενοι· σκαλεύοντες.* verba poetae ex Meinekii emendatione praebui, nisi quod pro *ὑμῶν* scripsi *ἡμῶν*, quod pendet ab *τῆς κεφαλῆς. λαγαριζόμενοι* iam Portus. praeterea malim *ἀπὸ τῆς ὀροφῆς* pro *καὶ τ. ὀ.* cf. 130, 7. significantur sine dubio formicae ingenti multitudine per omnes aedium partes se effundentes. apud Ovidium. Met. 7, 644 sq. de quercu descendunt.

122

ἀλλὰ καὶ κίσταις ἐν ἐμαῖσιν ἀπόκειθ' ἃ μέλλομεν ἀριστήσειν.

Pollux 10, 91 *εἴποις δ' ἂν καὶ κίστην ὀψοφόρον, καί που καὶ κοίτην . . . ἐν Φερεκράτους Μυρμηκανθρώποις κτλ. κίσταις* K.] *κοίταις. κοίταις ἐν ἐμαῖσιν ἀπόκειθ'* Meinek.] *κοίτας τὰς ἐν ἐμοὶ ἀποβάνθ'* F Poll. Phot. *κίστη καὶ κοίτης· ἀγγεῖον ἐν ᾧ τὰ βρώματα*

κεῖται ἢ ἱμάτιά τινα· ἤγουν κιβώτια. *κίσταις* scribendum esse demonstrasse mihi videor Mus. Rhen. XXX 414 sq. ac prorsus similiter Pollucem libris vitiosis deceptum esse Meinekius docet I 370 extr. addo Etym. m. Milleri (Mélanges 153), ubi versus ineditus Euripidis ita scribitur πάρεσμεν, ἀλλ' οὐκ ᾖσθ' ἂν οὐ παρόντα με, ut ᾖσθα deducatur ab εἰδέναι, qui facillime emendatur ἀλλ' οὐκ *ᾐσθάνου* παρόντα με. — versus Eupolideus ex parabasi excerptus, in qua poeta figurate de suae artis copia dicebat. cf. Metag. 14.

123

σὺ δ' ἀποτηγανίζεις.

Athenaeus 6, 229 a τοῦ δὲ ῥήματος (τηγανίζειν) μέμνηται . . . καὶ Φερεκράτης ἐν Μυρμηκανθρώποις.

124

ἢ τρὶς ἓξ ἢ τρεῖς κύβοι

ἡ παροιμία παρὰ Φερεκράτει ἐν τοῖς Μυρμηκανθρώποις. κεῖται δὲ ἐπὶ τῶν ἀποκινδυνευόντων. τὸ μὲν γὰρ ἓξ τὴν παντελῆ νίκην δηλοῖ, τὸ δὲ τρεῖς κύβοι τὴν ἧτταν. Zenobius 4, 23 et schol. Platonis Bekk. 460. cf. Poll. 9, 94. 5 et quae adnotavi ad Aristoph. Ran. 1400.

125

Μανίαν θρεπτήν

Pollux 7, 17 τὴν θεραπαινίδα καὶ *θρεπτὴν* ἐρεῖ ὅστις βούλοιτο ἕπεσθαι Φερεκράτει εἰπόντι ἐν Μυρμηκανθρώποις Μ. θρ. cf. Aristoph. Ran. 1345 cum interpr.

ΠΕΡΣΑΙ

De auctore fabulae iam antiquitus non constabat. Ath. 3, 78d Φερεκράτης δὲ ἢ ὁ πεποιηκὼς τοὺς Πέρσας. ac similiter 11, 502 a. 15, 684 f. Schol. Aristoph. Ran. 362 πρὸς *τοὺς ποιήσαντας* τοὺς Φερεκράτους Πέρσας. cf. Mein. I 70 et contra Bergkium etiam Aristophani tributam esse (R. c. Att. 294) disputantem II 318. scripta est eo tempore quod interfuit inter Metallicos et Aristophanis Tagenistas. altercationem laudantis paupertatem et reprehendentis institutam fuisse probabiliter Fr. Ritterus De Arist. Pluto 75 statuit, qui nomen comoediae a divitiis ut veteres credebant in Persarum potissimum terra divinitus absconditis petitum esse arbitratur.

126

τὸ παιδίον
τὸ πολλαγόρασον κἀπὸ πολλῶν τηλιῶν.

Pollux 7, 15 *τὸν δὲ πολλὰ ὠνούμενον ἔξεστιν εἰπεῖν πολλαγόρασον, εἰ καὶ φαῦλον τοὔνομα, ἀλλ' ὅτι Φερεκράτης εἴρηκεν ἐν Πέρσαις κτλ.* *τηλιῶν* Kuhnius] *θ' ἡλίων*. 'cum Pollux abiectum esse declarat (*πολλαγόρασον*), de hoc universo genere plebeiorum conviciorum sententiam ferre censendus est'. Lob. Phryn. 436. Bekker. Anecd. 275, 15 *ἡ τηλία σανὶς ἀλφιτοπωλικὴ πλατεῖα, προσηλωμένας ἔχουσα κύκλῳ σανίδας τοῦ μὴ τὰ ἄλφιτα ἐκπίπτειν.* Schol. Aristoph. Plut. 1037 *ἰδίως ἐκαλεῖτο τηλία περίφραγμα σανίδων ἐν τῇ ἀγορᾷ, ἐν ᾧ ἄλφιτα ἐπιπράσκοντο.* 'itaque perinde est ac si scripsisset *τὸ παιδίον τὸ πολλὰ καὶ ἀπὸ πολλῶν τηλιῶν ἀγοράζον*'. Meinek.

127

ἐπὶ τηγάνοις καθίσανθ' ὑφάπτειν τοῦ φλέω.

Athenaeus 6, 228 e *τήγανον δ' εἴρηκεν . . . Φερεκράτης . . . ἐν Πέρσαις κτλ.* *φλέω* Meinek.] *φλέως*. *ὑφάπτειν* a verbo iubendi videtur pendere. cf. Aristoph. Ran. 244 cum interpr. saepe *ὀξύνεται* (*φλεώς*).

128

στεφάνους τε πᾶσι κὠμφαλωτὰς χρυσίδας.

Athenaeus 11, 502 a *Φερεκράτης δὲ ἢ ὁ πεποιηκὼς τοὺς εἰς αὐτὸν ἀναφερομένους Πέρσας φησί· στεφάνους κτλ.* comparanti Aristoph. Ach. 74 legati hospitio excepti a Persarum rege vel dona ab illo missa intellegenda videntur. cf. Cratin. 50.

129

οὗτος σύ, ποῖ τὴν ἀργυρίδα τηνδὶ φέρεις;

Athen. 11, 502 b *τῆς δὲ ἀργυρίδος φιάλης Φερεκράτης ἐν Πέρσαις οὕτω μνημονεύει· οὗτος σὺ κτλ.*

130

τίς δ' ἔσθ' ἡμῖν τῶν σῶν ἀροτῶν ἢ ζυγοποιῶν ἔτι χρεία,
ἢ δρεπανουργῶν ἢ χαλκοτύπων ἢ σπέρματος ἢ χαρακισμοῦ;
αὐτόματοι γὰρ διὰ τῶν τριόδων ποταμοὶ λιπαροῖς ἐπιπάστοις
ζωμοῦ μέλανος καὶ Ἀχιλλείοις μάζαις κοχυδοῦντες ἐπιβλὺξ
ἀπὸ τῶν πηγῶν τῶν τοῦ Πλούτου ῥεύσονται, σφῶν ἀρύτεσθαι.
ὁ Ζεὺς δ' ὕων οἴνῳ καπνίᾳ κατὰ τοῦ κεράμου βαλανεύσει,
ἀπὸ τῶν δὲ τεγῶν ὀχετοὶ βοτρύων μετὰ ναστίσκων πολυτύρων
ὀχετεύσονται θερμῷ σὺν ἔτνει καὶ λειριοπολφανεμώναις.
τὰ δὲ δὴ δένδρη τἀν τοῖς ὄρεσιν χορδαῖς ὀπταῖς ἐριφείοις
φυλλοροήσει, καὶ τευθιδίοις ἁπαλοῖσι κίχλαις τ' ἀναβράστοις.

Athenaeus 6, 269c *κἀν τοῖς Πέρσαις δέ φησι* (*Φερεκρ.*) *τίς δ' ἔσθ' ἡμῖν κτλ.* v. 3. 4. Eustath 1095, 19. Pollux 7, 115 *ζυγοποιεῖν, ὡς ἐν Πλούτῳ Ἀριστοφάνης*, ubi in nomine poetae erravisse Pollucem arbitratur Dobraeus Aristoph. Plut. 115. atque etiam v. 9 (— *ὄρεσιν*) in Cramer. Anecd. Ox. I 277, 16 perperam Aristophani tribuitur. 3. *ἐπιπάστοις* L] *ἐπίπαστοι* P. *ἐπιπάστοι* V. 4. *μάζαις* L] *μάχαις* PV. 5. *ῥεύσονται* C] *ῥεύσοντας* PVL. *ῥεύσαντας* B. 6. *οἴνῳ καπνίᾳ* CL] *οἴνω οἰκαπνίαι* A. *κατὰ* PL] *καὶ* V. 7. *μετὰ* Schweighaeus.] *μετ' ἀμητίσκων καί*, quae ex Teleclid. 1, 12 inlata sunt. *ναστίσκων* C] *νατίσκων* A. 8. *θερμῷ* Villebrun] *θερμοί*. 9. *τὰ δὲ δὴ* Cramer. Anecd. Ox. I 277, 16] *τὰ δὲ* C, *τὰ* reliqui Athenaei cod. *δένδρῃ*] *δένδρα* B Ath. et Cram. An. *τἀν τοῖς* Casaub.] *τ' αὐτοῖς* PV. *δ' αὐτοῖς* B. *ὄρεσιν* BP] *ὄρεσι* VL. *ὄρνεσι* Cram. An. 10. *ἁπαλοῖσι* K.] *ἁπαλοῖς*.

adpellat aliquis Paupertatem vel defensorem eius. Fr. Ritterus scaenam Aristoph. Plut. 804—814 comparat. v. 2 *σπέρματος* suspectum, v. 7 *βοτρύων* manifesto corruptum est. 3. *ἐπιπάστοις*. cf. Aristoph. Eq. 103.-1089 cum interpr. 4. *Ἀχιλλείοις*. Aristoph. Eq. 819. *ἐπιβλύξ*. cf. *ὀκλάξ* fr. 75. 5. *ῥεύσονται*. Cratet. 15, 4. quod Herwerdenus proposuit (Obs. crit. 15) *παρέσονται* incredibiliter languet neque defenditur Telecl. 1, 9. *ῥεύσονται ἀρύτεσθαι*, ut Strattid. 61 *οἶνος κοχύζει πιεῖν*. cf. supra 69, 4. 6. *οἴνῳ καπνίᾳ*. Plat. 244. Anaxandr. Athen. 4, 131a (71). nomen accepit aut a fumo (Phot. *καπνίας· οἶνος κεκαπνισμένος*) aut a vite. Theophr. H. pl. 2, 3, 2 *τὴν κάπνειον ἄμπελον καλουμένην*. *κεράμου*, i. e. de tecto aedium. *βαλανεύσει*. cf. Aristoph. Pac. 1103. Timocl. 2. 8. *λειριοπολφανεμώναις*. 'Casaubonus Athen. 4, 158b interpretatur de polpho cum liliis et anemonis parato. *ἀνεμώνη* etiam *μάζης εἶδος* erat teste Hesych. *ἀνεμώνη* et Poll. 6, 76 . . . ac probabile est etiam *λείριον* mazae nomen fuisse'. Meinek. 10. *φυλλοχοήσει* Bergk. Zimmerm. Ann. 1840, 1078. perperam, 'cum recte quidem arbor dicatur *φυλλοχοεῖν χορδάς*, non item *χορδαῖς*'. Meinek. V 28.

131

ὦ μαλάχας μὲν ἐξερῶν, ἀναπνέων δ' ὑάκινθον,
καὶ μελιλώτινον λαλῶν καὶ ῥόδα προσσεσηρώς·
ὦ φιλῶν μὲν ἀμάρακον, προσκινῶν δὲ σέλινα,
γελῶν δ' ἱπποσέλινα καὶ κοσμοσάνδαλα βαίνων,
ἔγχει κἀπιβόα τρίτον παιῶν', ὡς νόμος ἐστίν.

Athenaeus 15, 685a *καὶ ὁ Φερεκράτης δὲ ἢ ὁ πεποιηκὼς τὸ δρᾶμα τοὺς Πέρσας μνημονεύων καὶ αὐτὸς ἀνθῶν τινων στεφανωτικῶν φησιν· ὦ μαλάχας κτλ.* versus sunt Priapei. 3. *προσκινῶν*] *προσκυνῶν* G. Herm. Doctr. metr. 375 et Meinekius in ed. Athen. neutrum cum *σέλινα* coniunctum satis intellego. Schweighaeu-

serus '*cuius oscula amaracum olent*, *concubitus apium*'. Hesych. et Phot. *σέλινον· τὸ γυναικεῖον αἰδοῖον*. cf. Plat. 174, 10. 5. *τρίτον* om. C. *παιῶν'* Schweighaeus.] *παιὼν* Cant. L. *παίων* C.

1. *ἐξερῶν* 'cognatum stirpi *ἐρυγγάνειν* verbum *ἐρᾶν* pluribus locis a librariis deformatum est, Hippocr. De morb. II 24. 576 CT. VII. De mul. morb. II 12, 802 D . . pro *eicere* et *effundere* Atticos dixisse certissimum est; an etiam pro *evomere* usurparint dubitasse videtur Porsonus, qui in Pherecratis versu mallet *ἐξεμῶν* legi Advers. 128'. Lobeck. Phryn. 64. 4. *γελῶν ἱπποσέλινα* i. e. *γελῶν ἱπποπορνικόν* (Mein.). *κοσμοσάνδαλα βαίνων* egregia dixit ambiguitate, cum *σάνδαλον* sit *solea*, *κοσμοσάνδαλον* flos (*Venuspantoffel* Billerbeck Flor. class. 225). 5. *paeanem* dicit, qui cum mensis ablatis potare incipiebant cantari solebat. Beck. Charicl.[2] II 263. Xen. Symp. 2, 1. Plat. Symp. 176 a. adloquitur chorus ut videtur hominem aliquem divitiis Persarum regi parem, Calliam similemve eius.

132

ἢν δ' ἡμῶν σῦκόν τις ἴδῃ διὰ χρόνου νέον ποτέ,
τὠφθαλμὼ τούτῳ περιμάττομεν τὼ τῶν παιδίων.

Athenaeus 3, 78 d *Φερεκράτης δὲ ἢ ὁ πεποιηκὼς τοὺς Πέρσας φησίν· ἢν δ' ἡμῶν — παιδίων, ὡς καὶ ἴαματος οὐ τοῦ τυχόντος τῶν σύκων ὑπαρχόντων.* 2. *τὼ φθαλμὼ* A. *τούτῳ περιμάττομεν* Hermannus Doctr. metr. p. 581] *περιμάττομεν τοῦτο* A. *τὼ τῶν* Erfurdtus 443] *τῶν*. versus sunt Eupolidei. *τούτῳ* i. e. *τῷ σύκῳ*. quomodo talis sententia parabasi conveniat quamquam difficile est dicere (Fritzsch. Fragm. v. Eup. 13), dubitari non potest quin ex ea petita sit.

133

Schol. Aristoph. Ran. 362 *ἢ τἀπόρρητ' ἀποπέμπει] πρὸς τοὺς ποιήσαντας τοὺς Φερεκράτους Πέρσας· τὰ γὰρ ἀπόρρητα ἤκουσαν ὡς νῦν ἡμῖν ἔθος.* *ἤκουσαν* Dindorfius] *ἤκουσιν*. 'itaque hoc dicit scholiasta, *τὰ ἀπίρρητα*, quae Aristophanes de rebus vetitis dixit, Persarum auctorem de mysteriis dixisse.' Meinek. cf. Schol. Aristoph. Thesm. 363 *δηλοῖ ἐνταῦθα, ὅτι λέγουσι καὶ ὁμοίως ἡμῖν τὰ ἀπόρρητα, οὐ μόνον (ἐπὶ τῶν) ἀπηγορευμένων.*

ΠΕΤΑΛΗ

Meretricis nomen esse opinatur Meinek. I 86 not. 39. cf. *Θάλαττα*. Lob. Pathol. prol. 111.

134

οὗτος πόθεν ἦλθες; Β. εἰς Κολωνὸν ἵέμην,
οὐ τὸν ἀγοραῖον, ἀλλὰ τὸν τῶν ἱππέων.

Hypoth. Soph. Oed. Col. *μνημονεύει τῶν δυεῖν Κολωνῶν Φερεκράτης ἐν Πετάλῃ διὰ τούτων· οὗτος κτλ.* Harpocrat. 114, 8 *ἐκαλεῖτο δὲ ὁ Κολωνὸς οὗτος ἀγοραῖος . . . Φερεκράτης Πετάλῃ· οὗτος κτλ. ἦλθες* Hyp.] *ἥκεις* Harpocr. *ἵεμην* Meinek.] *ᾠχόμηu* Hyp., *ἡ μὴν* codices Harpocr. — cf. Bursian. Geogr. gr. I 275. 287. 324 sq. respicitur proverbium *ὄψ' ἦλθες, ἀλλ' ἐς τὸν Κολωνὸν ἴεσο· παροιμία λέγεται ἐπὶ τῶν μισθαρνούντων.* Phot. itaque qui Colonum forensem confundi non vult cum equestri cavet ne mercennarius circumforaneus esse putetur.

135

ἀλλ' ὦ περιστέριον ὁμοῖον Κλεισθένει,
πέτου, κόμισον δέ μ' εἰς Κύθηρα καὶ Κύπρον.

Athenaeus 9, 395 c *Φερεκράτης ἐν Πετάλῃ κτλ. Κλεισθένει* Pors. Advers. 113. Elmsl. Ach. 118] *Καλλισθένει.* Venus aut puellula loqui videtur quae, ut Trygaeus cantharo, columba vehi volebat. de *Clisthene* cf. Aristoph. Eq. 1374 cum interpr.

136

παίειν με τύπτειν λακπατεῖν ὠθεῖν δάκνειν.

Photius *λακπατεῖν· Φερεκράτης Πετάλῃ κτλ. λακπατεῖν* Alberti Hesych. *λακπατῆσαι*] *λάκπάπτειν* et *λάκπαπτειν* cod. infinitivus pendebat a verbo quod proxime antecedebat.

137

πρόσαιρε τὸ κανοῦν, εἰ δὲ βούλει, πρόσφερε.

Bekker. Anecd. 358, 7 et Suidas (*αἴρειν*) *αἶρε· πρόσφερε. αἴρειν γὰρ καὶ τὸ προσφέρειν δηλοῖ . . . καὶ μετὰ τῆς προθέσεως Φερεκράτης Πετάλῃ κτλ.* tautologia consulto quaesita. cf. Aristoph. Ran. 1159 (Mein.).

138

κἀκ πιθῶνος ἤρυσαν
ἄκρατον.

Pollux 7, 163 *ἀπὸ δὲ τῶν πίθων ὁ πιθών, Φερεκράτους εἰπόντος ἐν Πετάλῃ κτλ. ἤρυσαν* Meinek.] *εἴρυσαν.* cf. Eupol. 111.

139

Athenaeus 8, 343 c *κωμῳδοῦσι δ' αὐτὸν* (*Μελάνθιον*) *ἐπ' ὀψοφαγίᾳ Λεύκων ἐν Φράτερσιν, Ἀριστοφάνης ἐν Εἰρήνῃ, Φερεκράτης ἐν Πετάλῃ.* cf. Meinek. I 205 sq. Bergk. R. c. Att. 340. Eupol. 41. 164. Plat. 132. Archipp. 28. Aristoph. Av. 151 cum interpr.

140

Athen. 15, 690f ὠνομάσθη τοῦτο (*Μεγάλλειον μύρον*) ἀπὸ Μεγάλλου τοῦ Σικελιώτου. οἱ δ' Ἀθηναῖόν φασιν εἶναι τὸν Μέγαλλον. μνημονεύει δ' αὐτοῦ Ἀριστοφάνης ἐν Τελμησσεῦσι, καὶ Φερεκράτης ἐν Πετάλῃ. Hesych. Μετάλλειον μύρον· . . . μνημονεύει δὲ καὶ Φερεκράτης ἐν τῇ Πετάλῃ. Phot. Μεγάλλ(ε)ιον μύρον· ἀπὸ τοῦ εὑρομένου τὴν κατασκευὴν αὐτοῦ Μεγάλλου Σικελιώτου· λέγει δὲ καὶ Θεόφραστος εἰς τὸ περὶ ὀσμῶν τὴν κατασκευὴν τοῦ Μεγαλλείου (cod. μεγαλοῖον, μεγάλον, μεγαλοίου). saepissime falso Μέταλλος et Μετάλλ(ε)ιον. Hesych. Μέταλλος γάρ τις Σικελιώτης τὴν τοῦ Μεταλλείου μύρου κατασκευὴν εὗρεν. cf. Schneider. Theophr. fr. 4, 6, 30. Aristoph. fr. 536. Strattid. 33.

Praeterea *Petale* commemoratur Suid. III 592 (Mein.) Φερεκράτης Πετάλῃ γράφει. sed verba poetae exciderunt. in Bernhardyi editione frustra quaesivi.

ΤΥΡΑΝΝΙΣ

Fortasse γυναικοκρατία quaedam intellegenda est, qualem in Ecclesiazusis finxit Aristophanes. cf. fr. 143.

141

κᾆπειθ' ἵνα μὴ πρὸς τοῖσι βωμοῖς πανταχοῦ
ἀεὶ λοχῶντες βωμολόχοι καλώμεθα,
ἐποίησεν ὁ Ζεὺς καπνοδόκην μεγάλην πάνυ.

Harpocratio βωμολοχεύεσθαι· κυρίως ἐλέγοντο βωμολόχοι οἱ ἐπὶ τῶν θυσιῶν ὑπὸ τοὺς βωμοὺς καθίζοντες καὶ μετὰ κολακείας προσαιτοῦντες. ἔτι δὲ καὶ οἱ παραλαμβανόμενοι ταῖς θυσίαις αὐληταί τε καὶ μάντεις. Φερεκράτης Τυραννίδι· κᾆπειθ' ἵνα μὴ κτλ. κᾆπειθ' Bekker] καὶ ἔπειτα. Porsonus Phoen. 1422 ἔπειθ'. τοῖσι Maussacus] τοῖς. βωμοῖς] ναοῖς BG. καλώμεθα] καλούμεθα C, qui πρὸς τοῖσι βωμοῖς omittit. deum aliquem loqui animadvertit Dobraeus Adv. I 586. dicit autem deos antehac fumo sacrorum insidiantes circum aras sedisse; deinde Iovem famae deorum consulentem caelum aeneum ut καπνοδόκην terris superstruxisse, ut iam fumus conlectus per καπνοδόκης foramen ad deorum sedes perveniret.

142

ἆρ' ἀράχνι' ὥσπερ ταῖς σιπύαισι ταῖς κεναῖς;

Suidas ἀράχνη· Φερεκράτης Τυραννίδι· ἀράχνεια ὥσπερ ταῖς σικύαισι ταῖς κεναῖς. et σικυαῖσι· Φερεκράτης Τυραννίδι· ἆρ' ἀράχνι' ὥσπερ ταῖς σικυαῖσι ταῖς κεναῖς. Valckenarius Diatr. 169a σιπυαῖσι, quod σιπύαισι scribendum erat. Harpocr. σιπύα· σιτη-

ρὸν ἀγγεῖόν ἐστιν ἡ σιπύα (vel potius σιπύη). ἔστι δὲ πολλάκις παρὰ τοῖς ἀρχαίοις κωμικοῖς. Aristoph. Eq. 1296. Plut. 806.

143

εἶτ' ἐκεραμεύσαντο τοῖς μὲν ἀνδράσιν πςτήρια
πλατέα, τοίχους οὐκ ἔχοντ' ἀλλ' αὐτὸ τοὔδαφος μόνον,
κοὐχὶ χωροῦντ' οὐδὲ κόγχην, ἐμφερῆ γευστηρίοις·
σφίσι δέ γ' αὐταῖσιν βαθείας κύλικας ὥσπερ ὁλκάδας
οἰναγωγούς, περιφερεῖς, λεπτάς, μέσας γαστροιίδας,
οὐκ ἀβούλως, ἀλλὰ πόρρωθεν κατεσκευασμέναι
αὔθ', ὅπως ἀνεκλογίστως πλεῖστος οἶνος ἐκποθῇ.
εἶθ' ὅταν τὸν οἶνον αὐτὰς αἰτιώμεθ' ἐκπιεῖν,
λοιδοροῦνται κὤμνύουσι μὴ 'κπιεῖν ἀλλ' ἢ μίαν.
ἡ δὲ κρείττων ἡ μί' ἐστὶ χιλίων ποτηρίων.

Athenaeus 11, 481 b ὅτι δὲ μεγάλοις ποτηρίοις αἱ γυναῖκες ἐχρῶντο ὁ αὐτὸς εἴρηκε Φερεκράτης ἐν Τυραννίδι διὰ τούτων· εἶτ' ἐκεραμεύσαντο κτλ. Eustathius 1632, 30. Athen. 11, 460 c κρείττων μί' ἐστὶ χιλίων ποτηρίων. 1. εἶτ' ἐκεραμεύσαντο Bergkius] εἶτα κεραμεύσαντα. μὲν add. C. 3. χωροῦντ' Casaubonus] δωροῦντ'. 4. σφίσι δέ γ' Bergk.] φασὶ δ'. 5. μέσας] μεστὰς C. epit. Hoesch. Eust. γαστροιῖδας A. omittunt C et Eustathius. Porsonus Adv. 127 ἐγγάστριδας. Hesych. γαστροείδης· προγάστωρ. καὶ γαστροπίων. videtur ex masculino γάστρων (Aristoph. Ran. 200) comice finxisse femininum γαστρώνιδας. etiam λεπτάς manifesto corruptum. dubito λευράς an στρεβλάς reponendum sit. 6. πόρρωθεν '*ex longinquo* rem (αὐτό) ita instituentes ut plurimum vini bibere possent. 7. ἀνεκλογίστως idem fere quod ἀνεξελέγκτως.' Meinek.

144

γυμνῷ φυλακὴν ἐπιτάττειν

Hesych. παροιμία ἐπὶ τῶν μὴ δεομένων προστάξεως, διὰ τὸ ἀναγκαίως καὶ χωρὶς ἐπικελεύσεως τοῦτο πράττειν. Φερεκράτης Τυραννίδι. Zenob. 2, 98. non recte Hesychium reprehendit Meinekius Philem. 361. φυλακή non solum est *custodia*, sed etiam *circumspectio*, quam nudo imperare non opus est, quia sua ipse condicione ea uti cogitur.

Ad hanc fabulam fortasse pertinebant fr. 187. 192.

ΧΕΙΡΩΝ

Nicomacho alii, alii Platoni adiudicaverunt. Meinek. I 75. 6. Athen. 8, 364 a τὰ εἰρημένα ὑπὸ τοῦ τὸν Χείρωνα πεποιηκότος, εἴτε

Φερεκράτης ἐστὶν εἴτε Νικόμαχος ὁ ῥυθμικός, ἢ ὅστις δήποτε. cf. *Μεταλλῆς.* ad artis musicae depravationem magnam fabulae partem pertinere manifestum est. nomen accepit a Chirone, qui Achillem ea arte instituit. Musicam ipsam muliebri habitu apud Iustitiam de iniuriis suis querentem in scaenam inductam esse docet fr. 145.

145

ΜΟΥΣ. *λέξω μὲν οὐκ ἄκουσα, σοί τε γὰρ κλύειν*
ἐμοί τε λέξαι μῦθον ἡδονὴν ἔχει.
ἐμοὶ γὰρ ἦρξε τῶν κακῶν Μελανιππίδης,
ἐν τοῖσι πρῶτος ὃς λαβὼν ἀνῆκέ με
χαλαρωτέραν τ' ἐποίησε χορδαῖς δώδεκα.
ἀλλ' οὖν ὅμως οὗτος μὲν ἦν ἀποχρῶν ἀνὴρ
ἔμοιγε . . . πρὸς τὰ νῦν κακά.
Κινησίας δέ μ' ὁ κατάρατος Ἀττικός,
ἐξαρμονίους καμπὰς ποιῶν ἐν ταῖς στροφαῖς,
ἀπολώλεχ' οὕτως, ὥστε τῆς ποιήσεως
τῶν διθυράμβων, καθάπερ ἐν ταῖς ἀσπίσιν,
ἀριστέρ' αὐτοῦ φαίνεται τὰ δεξιά.
ἀλλ' οὖν ἀνεκτὸς οὗτος ἦν ὅμως ἐμοί.
Φρῦνις δ' ἴδιον στρόβιλον ἐμβαλών τινα,
κάμπτων με καὶ στρέφων ὅλην διέφθορεν,
ἐν ἑπτὰ χορδαῖς δώδεχ' ἁρμονίας ἔχων.
ἀλλ' οὖν ἔμοιγε χοὖτος ἦν ἀποχρῶν ἀνήρ·
εἰ γάρ τι κἀξήμαρτεν, αὖθις ἀνέλαβεν.
ὁ δὲ Τιμόθεός μ', ὦ φιλτάτη, κατορώρυχεν
καὶ διακέκναικ' αἴσχιστα. ΔΙΚΑΙΟΣ. *ποῖος οὑτοσὶ*
ὁ Τιμόθεος; Μ. *Μιλήσιός τις Πυρρίας.*
κακά μοι παρέχων ἅπαντας οὓς λέγω
παρελήλυθ' ἀγαπῶν ἐκτραπέλους μυρμηκιάς.
κἂν ἐντύχῃ πού μοι βαδιζούσῃ μόνῃ,
ἀπέδυσε κἀνέλυσε χορδαῖς δώδεκα.

Plutarchus Mor. 1141. 2 *τὸ παλαιὸν ... συμβεβήκει τοὺς αὐλητὰς παρὰ τῶν ποιητῶν λαμβάνειν τοὺς μισθούς, πρωταγωνιζούσης δηλονότι τῆς ποιήσεως, τῶν δ' αὐλητῶν ὑπηρετούντων τοῖς διδασκάλοις. ὕστερον δὲ καὶ τοῦτο διεφθάρη, ὡς καὶ Φερεκράτην τὸν κωμικὸν εἰσαγαγεῖν τὴν* Μουσικὴν *ἐν γυναικείῳ σχήματι, ὅλην κατῃκισμένην τὸ σῶμα. ποιεῖ δὲ τὴν* Δικαιοσύνην *διαπυνθανομένην τὴν αἰτίαν τῆς λώβης καὶ τὴν Ποίησιν* (corrigunt *Μουσικὴν*) *λέγουσαν· λέξω*

μὲν κτλ. ex Chirone haec derivata esse constat ex Nicomachi Harm. II 35 Meib. *Τιμόθεος ὁ Μιλήσιος τὴν ἑνδεκάτην (χορδὴν προσῆψε) καὶ ἐφεξῆς ἄλλοι. ἔπειτ' εἰς ὀκτωκαιδεκάτην ἀνήχθη χορδὴν τὸ πλῆθος παρ' αὐτῶν, ὥσπερ καὶ Φερεκράτης ὁ κωμικὸς ἐν τῷ ἐπιγραφομένῳ Χείρωνι καταμεμφόμενος αὐτῶν τῆς περὶ τὰ μέλη ῥᾳδιουργίας φαίνεται.* post v. 25 sequuntur apud Plutarchum haec: *καὶ Ἀριστοφάνης ὁ κωμικὸς μνημονεύει Φιλοξένου, καί φησιν ὅτι εἰς τοὺς κυκλίους χοροὺς μέλη εἰσηνέγκατο. ἡ δὲ Μουσικὴ λέγει ταῦτα·*

26 ἐξαρμονίους, ὑπερβολαίους τ' ἀνοσίους,
καὶ νιγλάρους, ὥσπερ τε τὰς ῥαφάνους ὅλην
καμπῶν με κατεμέστωσε.

καὶ ἄλλοι δὲ κωμῳδοποιοὶ ἔδειξαν τὴν ἀτοπίαν τῶν μετὰ ταῦτα τὴν μουσικὴν κατακεκερματικότων. 2. *μῦθον* K. Mus. Rh. XXX 400. 1] *θυμός*. cf. Aristoph. Vesp. 1179. Lys. 782. 805. Pherecr. 96, 5. 4. *πρῶτος* Meinek.] *πρώτοις*. 7. fort. *εἰς τὴν τέχνην ἔμοιγε*. sed alia quoque suppleri possunt. Hanov. Exerc. crit. 39. Herwerden. Obs. crit. 16. 8. *δέ μ'* Meinek.] *δέ*. 10. *ἀπολώλεχ'* Meinek.] *ἀπολώλεκέ μ'*. *οὕτως μ' ἀπολώλεχ'* Hanovius Exerc. crit. 50. 13. *οὖν* Wyttenbach.] *οὐκ*. *ἀνεκτὸς* Emper. De Dion. Chrys. or. Corinth. 25] *ἂν εἴποις*. *ἐπιεικὴς* Wyttenb. *οὗτος ἦν ὅμως ἐμοί* Wyttenb.] *οὕτως (οὗτος) ἦν ὅμως ὅμως* (semel *ὅμως* B). 14. *Φρῦνις* Wyttenb.] *Φρύννις, Φρύνις, Φρύνης*. *Φρύννις* est Lesbiaca nominis forma. 16. *ἑπτὰ* Burettius Comment. litter. Acad. Par. XXIII 152] *πέντε* (*πενταχόρδοις* BV). 18. *εἰ*] *ἦν* V. *αὖθις*] *αὖτις* V. 20. *διακέκναικ'* Brunckius] *διακέκναιχ'*. 21. *ὁ* add. Meinek. 22. *παρέχων ἅπαντας οὗτος* K.] *παρέσχεν οὗτος ἅπαντας*. 23. *ἀγαπῶν* K.] *ἄγων*. *ᾄδων* Fritzsch. Arist. Thesm. 100. at non de vocis humanae, sed de citharae lyraeve cantu loquitur. 25. *ἀπέδυσε* Wyttenb.] *ἀπέλυσε*. *δώδεκα*] *ἕνδεκα* Meinek., cui praeterea v. 14—18 post 7 transponendi videntur, quia Phrynin iam Ol. 81, 1 Panathenaeis vicisse ex Schol. Aristoph. Nub. 971 constet, Cinesias autem vix ante Ol. 91 floruisse videatur (I 227). adversatur Bergkius Z. f. Altert. 1848, 439. 28. *καμπῶν* Elmsl. Aristoph. Ach. 559] *κάμπτων*. in fine Bergkius addit *ποικιλώτατα*. quidni *κάλυμήνατο*?

versus 1 et 2 tragicam gravitatem imitantur. 8. *Atticum* dixit Cinesiam, de quo cf. Aristoph. Ran. 153. 1437. Nub. 333. Av. 1372 cum interpr. Meinek. I 227 sq., ut eum peregrinis artis musicae magistris, Melanippidi, Phrynidi, Timotheo opponeret (Mein.). ictus in articulum *ὁ* cadit, ut Aristoph. Ran. 278. 623. Pac. 546. fr. 488, 10 (Hanov. 48). Vesp. 28. 9. versionibus stropharum *ἐξαρμονίοις* declarari arbitratur Hanovius (Exerc. crit. 49) saltationem chori cyclii, non congruentem illam neque cum modo tibiarum vel lyrae neque cum cantu. itaque factum esse in Cinesiae dithyrambis ut chorus versiones faceret ante-

quam tibiis significarentur, atque ubi secundum musices rationem dextra deberet parte chorus conlocatus esse, sinistra conspiceretur et invicem. ἀσπίδες sunt *ordines militum*. 12. i. e. ὥστε τῆς ποιήσεως τῶν διθυράμβων αὐτοῦ, καθάπερ ἐν τ. ἀσπ., τὰ δ. φ. ἀρ. 14. de *Phrynide* cf. Aristoph. Nub. 971 cum interpr. Bekker. Anecd. 63, 27 στρόβιλος· Πλάτων (254) καὶ μεταφορικῶς κέχρηται ἐπὶ ᾠδῆς κιθαρῳδικῆς πολὺν ἐχούσης τάραχον. cf. Mein. I 76. 16. lyram quinque chordis instructam aetate Pherecratis in usu fuisse negat Hanovius (51), quoniam Terpandri heptachordum usque ad Timotheum musici usurpaverint. Plut. Mor. 1141 d. de harmoniis heptachordi cf. Boeckh. De metr. Pind. 212. Thiersch. Proleg. Pind. 43. 18. ἀνέλαβεν i. e. *me refecit*, *vires mihi reddidit*. Xen. Hell. 6, 5, 21 ἐκ τῆς πρόσθεν ἀθυμίας ἐδόκει τι ἀνειληφέναι τὴν πόλιν. 19. κατορώρυχεν, *sepeliit* i. e. *occidit*. 20. de usu pronominis οὑτοσί cf. quae adnotavi ad Aristoph. Nub. 1427 et Nub. 424. 21. πυρρίας cf. Aristoph. Ran. 730 cum interpr. 23. ἀγαπᾶν est *mirifice sibi* in aliqua re *placere*. Antiphan. Athen. 6, 323 e. Plat. Reip. 1, 330 BC. Euthyd. 303 d. Phileb. 62 d. μυρμηκιάς, ut Aristoph. Thesm. 100. Aelian. H. a. 6, 43 μυρμήκων ἐν γεωρυχίᾳ ποικίλας τε ἀτραποὺς καὶ ἑλιγμοὺς καὶ περιόδους. translatione usus est ad significandos numeros musicos, qui propter incredibilem sonorum varietatem et celeritatem formicarum ultro citroque discurrentium similitudinem referant (Meinek.). 25. ἀνέλυσε idem est quod v. 5 χαλαρωτέραν ἐποίησε. Nicomach. Harm. II 35 Meib. Τιμόθεος ὁ Μιλήσιος τὴν ἐνδεκάτην χορδὴν προσῆψε. Plin. N. h. 7, 204 (chordam) *octavam Simonides addidit*, *nonam Timotheus*.

versus 26—28 Pherecratis esse inter omnes constat. post v. 23 inserendos esse censet Bergkius. ὑπερβόλαιοι soni sunt acutissimi in systemate quodam ex quattuor vel quinque heptachordis composito (Gaudent. Harmon. introd. 9 Meib.), qui soni antiquorum Graecorum sententia recte dicuntur ἀνόσιοι. νίγλαροι autem merae sunt voces, quibus certa aliqua significatio non subiecta est, quale Aeschyli est φλαττοθρατ (Hanov. 56), Aristophanis θρετταvελό, alia id genus. cf. Aristoph. Ach. 554. Eupol. 110. Phrynich. 69. καμπῶν simul *flexiones sonorum*, simul *erucas brassicae* (ῥαφάνοις) *adhaerentes* significat. ceterum de tota hac ecloga cf. Westphalii edit. Plut. De musica p. 22. 3. 53. 4.

146

εἰκῇ μ' ἐπῆρας ὄντα τηλικουτονὶ
πολλοῖς ἐμαυτὸν ἐγκυλῖσαι πράγμασιν.
ἐγὼ γάρ, ὦνδρες, ἡνίκ' ἦν νεώτερος,
ἐδόκουν μὲν ἐφρόνουν δ' οὐδέν, ἀλλὰ πάντα μοι

κατὰ χειρὸς ἦν τὰ πράγματ' ἐνθυμουμένῳ·
νῦν δ' ἄρτι μοι τὸ γῆρας ἐντίθησι νοῦν,
καὶ κατὰ μίτον τὰ πράγματ' ἐκλογίζομαι.

Stobaeus Floril. 116, 12 cum lemmate *Φερεκράτους*. ad Chironem referendum esse docuit Meinekius conl. Priscian. 18, 242 *Φερεκράτης Χείρωσιν· νῦν δ' ἄρτι μοι τὸ γῆρας ἐντίθησι νοῦν.* v. 7 ex lexico Vindobonensi addidit Bergkius Z. f. Altert. 1851, 275. 2. *πολλοῖς* Gesn. marg.] *πολλάκις. ἐγκυλῖσαι*, ut Aristoph. Thesm. 767. 3. *ἦν*. cf. quae adnotavi ad Aristoph. Av. 97. Eubul. 31. Antidot. 2, 5. Menand. Cramer. Anecd. Ox. IIII 363, 24. Apollod. 4 (Nauck. Philol. VI 413). 4. *ἐδόκουν* '*mihi videbar*' *φρονεῖν δηλονότι*. 5. *κατὰ χειρὸς ἦν* '*alles ging mir leicht von der Hand*' Meinek. cf. Telecl. 1, 2. Lobeck. Phryn. 327. 7. *κατὰ μίτον* i. e. *singula secundum ordinem*. Cic. ad Att. 14, 16, 3 *Herodi mandaram ut mihi κατὰ μίτον scriberet.*

147

νὴ τὸν Δί' ὥσπερ αἱ παροψίδες
τὴν αἰτίαν ἔχουσ' ἀπὸ τῶν ἡδυσμάτων,
οὓς ὁ καλέτας ἀξιοῖ τοῦ μηδενός.

Athenaeus 9, 368 b *καὶ παρὰ τῷ τὸν Χείρωνα πεποιηκότι δὲ τὸν εἰς Φερεκράτην ἀναφερόμενον ἐπὶ ἡδύσματος ἡ παροψὶς κεῖται, καὶ οὐχ ὡς Δίδυμος ἐν τῷ περὶ παρεφθορυίας λέξεως, ἐπὶ τοῦ ἀγγείου. φησὶ γάρ· νὴ τὸν Δί' ὥσπερ κτλ.* 3. *καλέτας*] *καλὸς οὗτος* Casaub., qui prima rectissime sic interpretatur '*αἰτίαν ἔχειν* significat nonnumquam *dici, nominari, κατηγορεῖσθαι*'. (cf. Phrynich. 54. Plat. Alcib. I 119 a *αἰτίαν ἔχει διὰ τὴν Περικλέους συνουσίαν σοφώτερος γεγονέναι*.) '*ait paropsidas elogium consequi a condimentis:* nam prout illa (condimenta) sunt bona aut mala, sic dicuntur paropsides bonae aut malae'. versus tertii sententiam primus perspexit Herwerdenus Obs. crit. 17 scribens *οὕτω τὸ κάλλος ἀξιοῖ τοῦ μηδενός*. quid Pherecrates dixerit significabo addito versu altero meae fabricae: *οὕτω τὸ κάλλος ἄξιον τοῦ μηδενός, ἢν μὴ καλοὶ προσῶσι τῷ κάλλει τρόποι.* i. e. pulchritudo per se sola nullius pretii est, nisi accedant boni mores, sicuti *παροψίδες* de natura condimentorum additorum bonae pravaeve habentur.

148

ἀμυγδάλας καὶ μῆλα καὶ μιμαίκυλα
καὶ μύρτα καὶ σέλινα κἀξ οἴνου βότρυς
καὶ μυελόν.

Athenaeus 14, 653e ὁ δὲ τὸν Χείρωνα πεποιηκὼς τὸν εἰς Φερεκράτην ἀναφερόμενόν φησιν ἀμυγδάλας κτλ. καὶ μυελόν] κάμυλον Bergkius, quod mensarum secundarum partes enumeret. at recte Meinekius provocat ad Plutarchum Mor. 349a, ubi μυελός aeque atque ἐγχέλεια καὶ θριδάκια καὶ σχελίδες inter delicatiores cibos commemorantur quos choregi choreutis adponere solebant. itaque etiam ad mensas secundas pertinere poterat. de accentu vocis ἀμυγδάλη iam antiquitus non constabat. cf. Athen. 2, 52f. Herodian. I 321, 32 Lentz. Phryn. com. 60.

149

δώσει δέ σοι γυναῖκας ἑπτὰ Λεσβίδας.
B. καλόν γε δῶρον ἑπτ' ἔχειν λαικαστρίας.

Schol. Aristophan. Ran. 1308 διεβάλλοντο ἐπὶ τούτῳ οἱ Λέσβιοι (αἱ Λέσβιαι). καὶ ἐν τῷ εἰς Φερεκράτην ἀναφερομένῳ Χείρωνι· δώσει δὲ κτλ. Eustathius 741, 22 παραγαγόντες (οἱ παλαιοὶ) Φερεκράτους χρῆσιν ἐν ἰάμβῳ τό, δώσει — Λεσβίας, ἐπάγουσιν ἀμοιβαῖον τό, καλόν γε δῶρον κτλ. ὡς τοιούτων οὐσῶν τῶν Λεσβίων γυναικῶν. 1. σοι Eustath.] τοι VΘ schol. τις Ald. Λεσβίδας schol.] Λεσβίας Eust. 2. γε Eust.] τὸ schol. λαικαστρίας] καστρίας V. propter similitudinem Homeri Il. 9, 270 δώσει δ' ἑπτὰ γυναῖκας ἀμύμονα ἔργα ἰδυίας Λεσβίδας Meinekius Ulixem cum Achille conloqui coniecit.

150

ἔξεισιν ἄκων δεῦρο πέρδικος τρόπον.

Athenaeus 9, 388f πολὺ δέ ἐστι τὸ ἐκτεινόμενον παρὰ τοῖς Ἀττικοῖς (τὸ πέρδιξ) . . . Φερεκράτης ἢ ὁ πεποιηκὼς τὸν Χείρωνα ἔξεισιν κτλ. ἄκων] οἴκων Meinek.; idem Anal. crit. Ath. 170 ἔξεισιν corruptum esse putat. Fritzschius Qu. Arist. I 77 Πέρδικος scribens *Perdicem* (Aristoph. Av. 1292 cum interpr.) significari censet.

151

τοῖς δέκα ταλάντοις προστιθείς, ἔφη,
ἄλλ' ἄττα πεντήκοντα.

Schol. Plat. 371 Bekker. et Philemo gramm. 32 ἐνίοτε δὲ (ἄττα) ἐκ τοῦ περιττοῦ προστίθεται, ὡς ἐν τῷ Χείρωνι Φερεκράτους· τοῖς δέκα κτλ. οὐδὲν γὰρ σημαίνει ἐνταῦθα τὸ ἄττα. Etym. m. 167, 45 Φερεκράτης δὲ ἐκ χειρῶν τοῖς (Sylburg ἐν Χείρωνι) ἐπ' ἀριθμοῦ· τοῖς δέκα κτλ. προστιθείς] προθῆς Etym. Cobetus N. l. 278 τοῖς δέκα ταλάντοις τοῖσδε προστιθείς, ἔφη, | ἄλλ' ἄττα πεντήκοντα. 'ubi perquam urbana ironia inest in verbis ἄλλ' ἄττα πεντήκοντα, quae

extenuantis est oratio et quod gravissimum est verbis elevantis, quasi dicas: *hisce talentis decem si pauxillulum addideris, nempe quinquaginta alia talenta'*. mihi scribendum videbatur τοῖς δέκα ταλάντοις ἄλλα προστιθείς, ἔφη, | ὀλίγ' ἄττα πεντήκοντα, ac cogitandum fortasse de decem illis talentis, quae Pericles εἰς τὸ δέον ἀπώλεσεν. Aristoph. Nub. 859.

152

μηδὲ σύγ' ἄνδρα φίλον καλέσας ἐπὶ δαῖτα θάλειαν
ἄχθου ὁρῶν παρεόντα· κακὸς γὰρ ἀνὴρ τόδε ῥέζει·
ἀλλὰ μάλ' εὔκηλος τέρπου φρένα τέρπε τ' ἐκεῖνον.

Athenaeus 8, 364a ἐπὶ νοῦν οὐ λαμβάνοντες τὰ εἰρημένα ὑπὸ τοῦ τὸν Χείρωνα πεποιηκότος, εἴτε Φερεκράτης ἐστὶν εἴτε Νικόμαχος ὁ ῥυθμικὸς ἢ ὅστις δήποτε· μηδὲ σύγ' ἄνδρα φίλον κτλ. ex Hesiodi Eoeis fortasse ne verbo quidem mutato Pherecrates transscripsit (Meinek.). cf. fr. 153.

153

ἡμῶν δ' ἤν τινά τις καλέσῃ θύων ἐπὶ δεῖπνον,
ἀχθόμεθ' ἢν ἔλθῃ καὶ ὑποβλέπομεν παρεόντα,
χὤττι τάχιστα θύραζ' ἐξελθεῖν βουλόμεθ' αὐτόν.
εἶτα γνούς πως τοῦθ' ὑποδεῖται, κᾆτά τις εἶπεν
τῶν ξυμπινόντων, ἤδη σύ; τί οὐχ ὑποπίνεις;
οὐχ ὑπολύσεις αὐτόν; ὁ δ' ἄχθεται αὐτὸς ὁ θύων
τῷ κατακωλύοντι καὶ εὐθὺς ἔλεξ' ἐλεγεῖα·
'μηδένα μήτ' ἀέκοντα μένειν κατέρυκε παρ' ἡμῖν
μήθ' εὕδοντ' ἐπέγειρε, Σιμωνίδη.' οὐ γὰρ ἐπ' οἴνοις
τοιαυτὶ λέγομεν δειπνίζοντες φίλον ἄνδρα;

Athenaeus 8, 364b νῦν δὲ τούτων μὲν οὐδ' ὅλως μέμνηνται, τὰ δὲ ἑξῆς αὐτῶν ἐκμανθάνουσιν, ἅπερ πάντα ἐκ τῶν εἰς Ἡσίοδον ἀναφερομένων μεγάλων Ἠοίων [καὶ μεγάλων Ἔργων] παρῴδηται· ἡμῶν κτλ. 3. χὤττι Dindorf.] χ' ὅττι. χ' ὅτι B. θύραζ' Cobet. N. l. 151] θύρας. 9. ἐπ'] ἐν Meinek.

4. ὑποδεῖται *'calceos induit'*, ut abiturus. convivantes enim excalceati accumbebant. Plat. Symp. 213 b. 5. ἤδη σύ; *iam tu abire paras?* 8. 9 sunt versus Theognidis 467. 469, ubi cf. quae Bergkius adnotavit. 11. 12 Hesiodi Op. 722. 3. rectissime Cobetus codicis A lectionem v. 6 revocari iussit. imperatur enim *servo* ut convivae calceos quos ut abiret iam induerat denuo exuat. Plat. Symp. 213b ὑπολύετε, παῖδες, Ἀλκιβιάδην.

Praeterea cf. fr. 157.

ΨΕΥΔΗΡΑΚΛΗΣ

154

εἴποι τις ἂν τῶν πάνυ δοκησιδεξίων

* * *

ἐγὼ δ' ἂν ἀντείποιμι· μὴ πολυπραγμόνει,
ἀλλ' εἰ δοκεῖ σοι, πρόσεχε τὸν νοῦν κἀκροῶ.

Athenaeus 3, 122 e κατὰ Φερεκράτους Ψευδηρακλέα. manifestum est excidisse quod quempiam illorum qui sibi aliisve sapientes videantur dicere poeta fingit. itaque post v. 1 lacunae signum posui. ex prologo fabulae fragmentum excerptum est. cf. Aristoph. Pac. 43 sq. Vesp. 74—86. Calliae fr. 27.

ΑΔΗΛΩΝ ΔΡΑΜΑΤΩΝ

155

οὐκ ὢν ἀνὴρ γὰρ Ἀλκιβιάδης, ὡς δοκεῖ,
ἀνὴρ ἁπασῶν τῶν γυναικῶν ἐστι νῦν.

Athenaeus 12, 535 b Φερεκράτης δέ φησιν· οὐκ ὢν κτλ. Sueton. Iul. Caes. 52 *Curio pater eum* (Caesarem) *omnium mulierum virum et omnium virorum mulierem adpellat.* Cic. Verr. 2, 78 *vir inter mulieres, inpura inter viros muliercula* (Mein. V 29).

156

ὑπὸ τῆς ἀπληστίας
διακόνιον ἐπήσθιεν [ἀμφιφῶντ' ἔχων].

Athenaeus 14, 644 f διακόνιον· Φερεκράτης· ὑπὸ κτλ. ἀμφιφῶν πλακοῦς Ἀρτέμιδι ἀνακείμενος, ἔχει δ' ἐν κύκλῳ καόμενα δᾴδια. quapropter ἀμφιφῶν [τ'] ἔχων (καόμενα δᾴδια) verbis Pherecratis detrahenda et cum proximi placentae generis descriptione coniungenda arbitror. ἐπήσθιεν] ἔπησθεν. ἐπήσθι' Meinck. Hesych. διακόνιον· μᾶζα ἢ ζωμός, καὶ ἡ κρηπὶς τοῦ πλακοῦντος· οἱ δὲ πέμματα ἐξαπτόμενα τῆς εἰρεσιώνης. Herculem significari putat Meinekius. at is non solus ἄπληστος fuit.

157

τί δ' ἔπαθες;
B. ἄγρυκτα κἄλεκτ', ἀλλὰ βούλομαι μόνῃ
αὐτῇ φράσαι σοι.

Bekker. Anecd. 339 extr. 340, 5 ἄγρυκτα καὶ ἄλεκτα πέπονθα. τὸ μὲν ἄγρυκτα ἐστὶν ὥστε μηδὲ γρύξαι διὰ τὴν ὑπερβολὴν τῶν

κακῶν. κέχρηται δὲ αὐτῷ καινότατα Φερεκράτης κτλ. κἄλεκτ' Bekker] καὶ ἄλεκτα. ad Chironem haec verba referenda et ante fr. 145 ponenda esse Meinekius coniecit I 78. 9.

158

σκέψαι δέ μου
τὸ μέτωπον, εἰ θέρμην ἔχουσα τυγχάνω.

Zonaras θέρμη καὶ θέρμα. Φερεκράτης· σκέψαι κτλ. Phryn. Epit. 331 θέρμα· οὕτως Μένανδρος διὰ τοῦ ᾱ, ἀλλ' οὔτε Θουκυδίδης οὔτε ἡ ἀρχαία κωμῳδία οὔτε Πλάτων, θέρμη δέ. ubi cf. Lobeck.

159

τρώγων ἐρεβίνθους ἀπεπνίγη πεφρυγμένους.

Athenaeus 2, 55b Φερεκράτης . . . (fr. 84) πάλιν· τρώγων κτλ.

160

ἥνπερ φρονῇς εὖ, φεῦγε τὴν Βοιωτίαν.

Dicaearchus V. Graec. p. 29 τάδ' ἐκ πάσης τῆς Ἑλλάδος ἀκληρήματα εἰς τὰς τῆς Βοιωτίας πόλεις κατερρύη. ὁ στίχος Φερεκράτους· ἥνπερ κτλ. ἥνπερ Meinek.] ἄνπερ.

161

τὴν γαστέρ' ἤων κἀχύρων σεσαγμένος.

Schol. Hom. Od. 2, 289 et Eustathius 1445, 42 ἤια κυρίως κατὰ Ἐρατοσθένην ὀσπρίων καλάμαι. καὶ δισυλλάβως ἐν συναιρέσει ἦα, ὡς καὶ Φερεκράτης τὴν γαστέρ' ἤων κτλ. σεσαγμένος Schol.] σεσαγμένους Eustath.

162

ὕβριστον ἔργον καὶ κόβαλον εἰργάσω.

Bekker. Anecd. 368, 22 Φερεκράτης δὲ τῷ κόβαλον συμπλέξας τὸ ὕβριστον εἶπεν· ὕβριστον κτλ. cf. Plat. 98, 3. Lobeck. Paralip. 40. 1. Pathol. prol. 399 adn. 4. de voce κόβαλος cf. Aristoph. Eq. 635 cum interpr.

163

ἀτόπως καθίζων κοὐδὲ γιγνώσκειν δοκῶν.

Bekker. Anecd. 460, 10 καὶ ἀτόπως τὸ ἀσυνήθως καὶ ἀνεπιφάτως. ἀτόπως — δοκῶν, φησὶ Φερεκράτης. cf. Eupol. 180, 2. potuit uterque poeta eodem versu uti. δοκῶν, i. e. *simulans me*

nihil sentire, prorsus ut Aristoph. Eq. 1146. Pac. 1051. Ran. 564. Eupol. 159, 10. Xenarch. 7, 12.

164

ἢ τῆς ἀχέρδου τῆς ἀκραχολωτάτης

Bekker. Anecd. 475, 14 *ὁ μὲν καρπὸς ἀχράς, τὸ δὲ δένδρον ἄχερδος. Φερεκράτης· ἢ τῆς ἀχέρδου κτλ.* Attici semper *ἀκράχολος*, non *ἀκρόχολος*. Aristoph. Eq. 41. Bergk. R. c. Att. 305. 'spinosam esse *ἄχερδον* constat, unde *ἀκράχολον* eam dicit. feracissimus eius arboris fuit demus Acherdusius. hinc arboris naturam ad incolarum indolem transtulit scriptor incertus ap. Etym. m. 181, 5 *μοχθηρὸς ὢν καὶ τὴν γνώμην Ἀχερδούσιος*'. Meinek. similiter Pherecrates videtur iocari.

165

ποῖ κῆχος; Β. ἐγγύς, ἡμερῶν γε τεττάρων.

Cramer. An. Ox. I 344, 27 *κῆχος· δηλοῖ δὲ τὸ δήπου· συντάσσεται αὐτῷ τῷ* (*τὸ*) *ποῖ. ὡς Φερεκράτης· ποῖ κῆχος; κτλ.* Etymol. m. 682, 52 *παρὰ Φερεκράτει ποῖ κῆχος;* Phot. *ποῖ· ἦχος*, ubi recte Naberus *ποῖ κῆχος*; cf. Herodian. I 513, 1. II 295, 15. *ἐγγύς* cum ironia dictum. *ἡμερῶν τεττάρων*, i. e. *ὁδὸν ἄπεστιν*.

166

ἀεί ποθ' ἡμῖν ἐγκιλικίζουσ' οἱ θεοί.

Photius et Suidas *Κιλλικῶν* (*Κιλίκων*)· *παρόσον Κίλικες διεβέβληντο ἐπὶ πονηρίᾳ καὶ ὠμότητι, διὰ τοῦτο ἐκλήθη* (*Ἀχαιός*) *Κιλλικῶν. Φερεκράτης· ἀεὶ κτλ.* Etym. m. 310, 55 *ἐγκιλικίζειν τὸ πονηρεύεσθαι, ἀπὸ τῆς τῶν Κιλίκων πονηρίας. Κίλικες γὰρ ἔθνος ἐπὶ πονηρίᾳ διαβαλλόμενον.* Proverb. syll. Milleri (Mél. 364) *Κιλίκιος ὄλεθρος· ὅτι Κίλικες λῃστείαις χρώμενοι ἐπ' ὠμότητι διεβέβληντο. ὅθεν καὶ Φερεκράτης φησί· δὴ πόθ'* (sic) *ἡμᾶς ἐγκιλικίζουσιν οἱ θεοί* (*ἡμᾶς* corr. pro *ἡμῖν*). *ἡμῖν*] *ἡμῶν* Etym. *ὑμῶν* Etym. Milleri (Mélanges 97). *ἐγκιλικίζουσ'*] *ἐκκιλικίζουσι* Phot. et Suidae V. cf. Aristoph. fr. 105 et Zenob. 4, 53, ubi Pherecratis verba non adferuntur. '*inponunt nobis cilicatim dei*'. Grotius.

167

ἀρκεῖ μία σκόνυζα καὶ θύμω δύο.

Photius *σκόνυζαν· καὶ χωρὶς τοῦ σ κόνυζαν λέγουσι. Φερεκράτης· ἀρκεῖ κτλ. μία σκόνυζα — θύμω* Pors.] *μιᾶς κόνυζα — θύμων.* Poll. 10, 131 *κόνυζα . . . καὶ πάνθ' ὅσα ἀκανθώδη τοῖς καρποῖς ἐπὶ φρουρᾷ περιβάλλεται.* planta est gravi odore insignis. Theophr. H. pl. 6, 2, 6. Lob. Paral. 406 cum adn. 16.

168

μηδὲν κοτυλίζειν, ἀλλὰ καταπάττειν χύδην.

Pollux 7, 195 *τὸ κοτυλίζειν . . . ἴδιον δ' ἂν εἴη τῶν τὸν οἶνον πιπρασκόντων. καὶ Φερεκράτης μὲν εἴρηκε· μηδὲν κτλ. καταπάττειν*] *καταπιπράσκειν* A. Bekker. Anecd. 46, 14 *κοτυλίζειν σημαίνει κατ' ὀλίγα πιπράσκειν καὶ μικρά.* itaque iubetur nescio quis non exigua frustula, sed totam quam habeat copiam humi fundere.

169

τουτὶ τί ἐστιν; ὡς ἀνεκὰς τὸ κρίβανον.

Schol. Aristoph. Acharn. 86 *οὐδετέρως τὸ κρίβανον, ὡς μαρτυρεῖ Φερεκράτης· τουτὶ τί ἐστιν κτλ. ἀνεκὰς τὸ* Valcken. Diatr. 285] *ἂν ἑκάστῳ τὸ.* de accentu cf. Cratet. 10. 'formula est mirantis *τουτὶ τί ἦν*; frequens in comoedia'. Valcken. cf. Aristoph. Ran. 438. 658. Ach. 733. sententia obscura.

170

Ἀδώνι' ἄγομεν καὶ τὸν Ἄδωνιν κλάομεν.

Suidas et Draco Straton. 11 *Ἀδώνια συνεσταλμένως* (i. e. *Ἀδώνια*, non *Ἀδώνεια*)· *Ἀδώνι' ἄγομεν — κλάομεν. Φερεκράτης.* Bekker. Anecd. 345, 29 *Ἀδώνια· βραχεῖαν ἔχει τὴν παραλήγουσαν, ὡς Ἀριστοφάνης καὶ Φερεκράτης διὰ τῶν μέτρων μαρτυρεῖ. Ἀδώνι'* Kusterus] *Ἀδωνίαν.*

171

ὑπέλυσε δήμαρχός τις ἐλθὼν εἰς χορόν.

Suidas *δήμαρχος· Φερεκράτης· ὑπέλυσε κτλ. οἱ κατὰ δῆμον ἄρχοντες· οὗτοι δὲ διεκόσμουν τὴν ἑορτὴν τῶν Παναθηναίων.* de demarchis cf. Boeckh. Oec. Att.[2] I 664. sententia prorsus obscura. nam de calceis exuendis cogitari non potest.

172

δεῖπνον παρασκεύαζε, σὺ δὲ καθίζανε.

Zonaras 1169 *λέγουσι δὲ καὶ καθίζανε. Φερεκράτης· δεῖπνον κτλ.*

173

ἀνεμολύνθη τὴν ὑπήνην τῷ γάρῳ.

Athenaeus 2, 67c *Φερεκράτης. ἀλλ'* initio supplet Meinekius. quidni *ὁ δ'* vel quidvis aliud?

174

ὁ λαγώς με βασκαίνει τεθνηκώς.

Schol. Aristoph. Pac. 1031 *ὁ Στιλβίδης εὐδόκιμος καὶ περιβόητος μάντις . . . μέμνηται δὲ αὐτοῦ καὶ Εὔπολις Πόλεσιν κτλ.* 1. *οὖν*] *αὖ* Ald. *ἀμφοτέρων*] *ἀμφότερος* V. *ἢ*] *ἡ* Florens Christianus; quo nihil proficitur. Herwerd. Obs. crit. 26 *Ἀμφοτερός*, 'plures enim duobus Athenis erant haruspices'. ac novit id nomen Herodian. II 4, 5 Lentz. vatem tamen Amphoterum fuisse nusquam legi. de *Stilbide* cf. Aristoph. Av. 139. Ol. 91, 3 mortuum esse Meinekius I 141 conclusit ex Plut. Nic. 23.

212

Ἱερόκλεες βέλτιστε χρησμῳδῶν ἄναξ

Schol. Aristoph. Pac. 1046 *μάντις ἦν καὶ χρησμολόγος . . . καὶ Εὔπολις Πόλεσιν κτλ.* admonet Dindorfius poetam imitari Aesch. Sept. 39 *Ἐτεόκλεες, φέριστε Καδμείων ἄναξ.* de forma vocativi cf. quae adnotavimus ad Aristoph. Eq. 283. fortasse Hierocles is vates est, de quo advocando fr. 211 agitur.

213

*καὶ τῷ Πυριλάμπους ἄρα Δήμῳ κυψέλη
ἔνεστιν;*

Schol. Aristoph. Vesp. 98 τὸν Πυριλάμπους· μέμνηται τούτου καὶ Εὔπολις ἐν Πόλεσιν . . . ἦν δὲ καὶ εὔμορφος ὁ Δῆμος. ἄρα Δήμῳ Meinek.] Δήμῳ ἄρα. de *Demo* Pyrilampis f. cf. Plat. Gorg. 481e. 513b. Lys. 19, 25. 6. et plura apud Boeckh. Opusc. IIII 468 adn. 3. κυψέλην ἐν τοῖς ὠσὶν ἔχειν proverbium erat de hominibus stupidis. Lucian. Lexiph. 1 κυψελόβυστα ἔοικας ἔχειν τὰ ὦτα . . . ἔμοιγε οὔτε Κύψελός τις οὔτε Περίανδρος ἐν τοῖς ὠσὶ κάθηται. Pollux 2, 82 (cf. 4, 185) κυψέλη καὶ κυψελὶς ὁ ἐμφράττων τὴν ἀκοὴν ῥύπος, quod figurate intellegendum est. cf. etiam Lobeck. Phryn. 767. itaque v. 2 addendum videtur ἔνεστιν ἐν τοῖς ὠσίν.

214

*ὄρτυγας ἔθρεψας σύ τινας ἤδη πώποτε;
B. ἔγωγε μικρά γ' ὀρτύγια· κἄπειτα τί;*

Athenaeus 9, 392e ὑποκοριστικῶς δὲ Εὔπολις ἐν Πόλεσιν αὐτοὺς (ὄρτυγας) κέκληκεν ὀρτύγια κτλ. ἔθρεψας Schweigh.] θρέψας PVL. μικρά γ'] μίκρ' ἄττ' Porson. Miscell. 240. haec quoque videntur ad Demum spectare, quem patris exemplo avium altorem fuisse constat. cf. 36. 213.

215

ὥσπερ ἐπὶ τὴν Λύκωνος ἔρρει πᾶς ἀνήρ.

Schol. Aristoph. Lys. 270 τὴν Ῥοδίαν λέγει οὕτω καλουμένην, τὴν Αὐτολύκου μὲν μητέρα, γυναῖκα δὲ Λύκωνος, ἐπ' αἰσχροῖς κωμῳδουμένην. Εὔπολις Πόλεσιν κτλ. τὴν om. Barocc. ἔρρει Barocc.] συνέρρει. cf. 53. 273. Cratin. 202.

216

ὃς τὴν Μαραθῶνι κατέλιφ' ἡμῖν οὐσίαν.

Photius οὐσίαν· τὰ χρήματα, ὡς ἡμεῖς. Εὔπολις Πόλεσιν κτλ. τὴν — κατέλιφ' Porson.] τὴν ἐν — κατέλιπεν. *Miltiadem* dicit Atheniensibus victoriam Marathoniam pro magna hereditate reliquisse. οὐσίαν accusativus est praedicativus qui dicitur. cf. Nep. Epamin. 10.

217

τί δ' ἔστ' Ἀθηναίοισι πρᾶγμ' ἀπώμοτον;

Bekker. Anecd. 441, 14 et Suidas ἀπώμοτον· ἀπηγορευμένον,

φευκτὸν καὶ ἀποίητον· τί δ' κτλ. Εὔπολις ἐν ταῖς Πόλεσιν. cf. Dion. Chrysost. 32 p. 655 (402 L. Dindf.). rectius Bekker. Anecd. 21, 3 *ἀπώμοτον πρᾶγμα· ὃ ἄν τις ἀπομόσειε μὴ ἂν γενέσθαι.* nihil esse dicit quod Athenienses non facturos esse quisquam iurare possit.

218

ἐξ Ἡρακλείας ἀργύριον ὑφείλετο.

Schol. Aristoph. Nub. 351 *καὶ Εὔπολις ἐν Πόλεσι διαβάλλων αὐτὸν (Σίμωνα) ἐπὶ τοῖς αὐτοῖς ἐγκλήμασιν οὕτως κτλ.* de *Simone* nihil praeterea notum. neque quam Heracleam dicat constat.

219

ὡς ὑμῖν ἐγὼ
πάντως ἀποκρινοῦμαι πρὸς τὰ κατηγορούμενα.

Harpocratio *ἀπόκρισις ἡ ἀπολογία. . . . Εὔπολις Πόλεσιν κτλ. πάντως*] *πάντ'* Meinek. quod non intellego. Dobraeus Adv. 416 *πρὸς πάντ' ἀποκρινοῦμαι τὰ κ.* Fritzschius Fragm. Eup. vers. 20 *ὡς ὑμῖν ἐγὼ (ἀπεκρινάμην), πάντως ἀπόκριναι πρὸς τὰ κ.*, ubi nescio an *καὶ σύ* deesse non potuerit.

220

ἣν οὐκ ἀνέῳξα πώποτ' ἀνθρώποις ἐγώ.

Bekker. Anecd. 399, 30 et Suidas *ἀνέῳγεισαν. . . . Εὔπολις Πόλεσιν κτλ. ἣν* Porson. Advers. 285] *ἓν* Bekk. An. *ἦδ'* Suid. *οἷ* A. *οἶδ'* BC. unde Bernhardy *ἣν δ'.* intelleg. *θύραν.*

221

ὡς μόλις ἀνήρρησ'· οὐδέν ἐσμεν οἱ σαπροί.

Bekker. Anecd. 402, 29 et Suidas *ἀνήρρησεν· ἀνεφθάρη. ὡς μόλις — σαπροί. Εὔπολις Πόλεσιν. ἀνήρρησ'* (i. e. *ἀνήρρησα*) Porson. Advers. 285] *ἀνήρρησαν* Bekk. An. et Suidae AC. *ἀνήρρησεν* Suidae reliqui. inridet Euripidem, qui saepissime senes in scaenam prodeuntes de senectutis molestiis querentes fecit. *οὐδέν ἐσμεν* Herc. fur. 314, quod addito *οἱ σαπροί* Eupolis in ridiculum deflexit. etiam *ἀνήρρησα* parodiae inservit. cf. Aristoph. Nub. 789 cum adn.

222

οὐ γὰρ πολυπράγμων ἐστίν, ἀλλ' ἀπλήγιος.

Bekker. Anecd. 425, 18 et Suidas *ἀπλήγιος· δασέως, ἁπλοῦς. καὶ Εὔπολις Πόλεσιν κτλ. οὐ γὰρ* Bekk. An.] *οὔτ' ἄρ* Suid.

AV. ἀπλήγιος] ἁπλοῦς cod. Bekkeri, si recte Bekkerum intellexi. '*non curiosus ille est, sed simplex nimis*'. Grotius Exc. 503.

223

ἄνδρες λογισταὶ τῶν ὑπευθύνων χορῶν

Harpocratio 121, 15 *Εὔπολις Πόλεσιν κτλ. ὑπευθύνων*] *ὑπευθυνῶν* A. *ἐπευθυνῶν* BG. *χορῶν*] *χωρῶν* G. *χειρῶν* O. *λογισταί* hic non sunt qui proprie dicebantur (cf. Schoem. Antiq. gr.[2] I 422), sed quinque illi poetarum iudices, quibus chori quasi rationem reddere debebant. cf. Pherecr. 96. Fritzsch. Daetal. 120. Saupp. Ber. d. sächs. Ges. d. Wiss. 1855 p. 11.

224

ἐμοὶ γὰρ οὐκ ἔστ' οὐδὲ λάσαν' ὅπου χέσω.

Moeris 202, 30 *λάσανον καὶ τοὺς χυτρόποδας καὶ τοὺς δίφρους, ὡς Εὔπολις Πόλεσιν κτλ. λάσαν'* Raspius} *λάσανον.* Civitatem aliquam ita se Atheniensium aviditate exhaustam esse queri, ut ne lasana quidem habeat ad ventrem levandum, Raspius (89) arbitratur. cf. fr. 225. at singuli choreutae talia non solent proferre.

225

κακὰ τοιάδε
πάσχουσα, μηδὲ πρᾶσιν αἰτῶ;

Pollux 7, 13 ὃ δὲ οἱ νῦν φασι τοὺς οἰκέτας πρᾶσιν αἰτεῖν, ἔστιν εὑρεῖν . . . ἐν ταῖς Εὐπόλιδος Πόλεσιν κτλ. *μηδὲ* Bekkerus] *οὐδέ*. *talia perpessa ne alteri quidem domino ut tradar poscam?* cf. Schoemann. Antiq. gr.[2] I 362 et De com. Athen. 403sq. Aristoph. Eq. 1312 cum interpr. haec quoque Civitatem aliquam dicere abitratur Raspius.

226

καὶ Χαόνων καὶ Παιόνων καὶ Μαρδόνων

Stephanus Byz. *Μαρδόνες. ἠπειρωτικὸν ἔθνος. Εὔπολις Πόλεσι κτλ.* Herodian. I 25, 5 Lentz. de trimetri forma Raspius conferri iubet Aristoph. Ach. 31. Pac. 291. *Mardones* praeterea non commemorari monuit Meinekius.

227

ἄνευ καλαθίσκων καὶ πόρων καὶ πηνίων

Pollux 7, 29 *τάλαρος, καὶ ἄλλος καλαθίσκος, Εὐπόλιδος εἰπόντος ἐν Πόλεσιν κτλ. πόρων*] *πόκων* Meinekius. praeferendum videtur *ταλάρων*.

228

καρδόπους,
κρατῆρας ὀκτώ, δέκα χύτρας, δύο τρυβλίω,
κνέφαλλα δέκα, θέρμανστριν, ἓξ θρόνους, χύτραν,
κάννας ἑκατόν, κόρημα, κιβωτόν, λύχνον.

Pollux 10, 192 σκευῶν ἐν Εὐπόλιδος Πόλεσι κατάλογος κτλ. 3. κνέφαλλα Meinek.] κνέφαλα. δέκα Bekkerus] τε καὶ B, om. rel. χύτραν] λύραν Bentl. at quid lyrae cum tali supellectile? fortasse δίφρον. Hesych. θερμα(ν)στρίς· σκεῦος παραπλήσιον καρκίνῳ, ᾧ χρῶνται οἱ χρυσοχόοι, i. e. forceps. at Pollux 10, 66 ἵνα τὸ ὕδωρ θερμαίνεται, . . . θέρμανστρις, θερμαστρίς. ceterum facile quispiam pro Πόλεσι apud Pollucem Κόλαξι scribendum esse coniciat et haec ad supellectilis indicem referat conl. fr. 151. 170. 171.

229

ἔχω γὰρ ἐπιτήδειον ἄνδρ' αὐτῇ πάνυ.

Etym. m. Milleri (Mélanges 123) ἐπιτήδειον· Εὔπολις Πόλεσιν· ἔχω κτλ. Etym. m. 366, 16 cod. Voss. Εὔπολις· ἔχω κτλ. αὐτῇ cod. Mill.] ἐν αὐτῇ Voss.

230

πεφυτευμένη δ' αὕτη 'στὶν ἢ ψιλὴ μόνον;

Photius ψιλὴ γῆ· ἡ μὴ πεφυτευμένη. πεφυτευμένη — μόνον. Πόλεσιν. αὕτη 'στὶν ἢ Porson.] δὲ αὐτὴ ἐστὶν ἡ cod., qui πεφυτευμένη semel habet, sed repetitum in margine manu antiqua. ad *Eupolidis* Πόλεις pertinere intellexit Porsonus. versum σκληράν, ἄκαρπον καὶ φυτεύεσθαι κακήν Plut. Mor. 602 d cum hoc fr. quodammodo coniungendum esse putat Meinekius, Seriphum intellegens. μόνον suspectum. ἢ 'ψιλωμένη Meinek. cf. Demosth. 20, 115 Λυσιμάχῳ . . . ἑκατὸν μὲν . . . πλέθρα γῆς πεφυτευμένης ἔδοσαν, ἑκατὸν δὲ ψιλῆς.

231

Τῆνος αὕτη,
πολλοὺς ἔχουσα σκορπίους ἔχεις τε συκοφάντας.

Schol. Aristoph. Plut. 718 ὅτι ἡ Τῆνος θηριώδης δοκεῖ εἶναι, δηλοῖ καὶ Εὔπολις Πόλεσι κτλ. Τῆνος αὕτη R] Τῆνος δ' (δὲ Θ) αὐτὴ reliqui. ἔχεις τε συκοφάντας accesserunt ex V. cf. Cobet N. l. 153. comparat H. Iacobi Demosth. 25, 52 πορεύεται διὰ τῆς ἀγορᾶς ὥσπερ ἔχις ἢ σκορπίος ἠρκὼς τὸ κέντρον. scilicet orator poetam imitatus est.

232

αὕτη Χίος, καλὴ πόλις . . .
πέμπει γὰρ ὑμῖν ναῦς μακρὰς ἄνδρας θ' ὅταν δεήσῃ,
καὶ τἄλλα πειθαρχεῖ καλῶς, ἄπληκτος ὥσπερ ἵππος.

Schol. Aristoph. Av. 880 λέγει δὲ περὶ τῆς Χίου καὶ Εὔπολις ἐν Πόλεσιν· αὕτη κτλ. 1. πάρεστι supplebat Hermannus Opusc. V 295. cf. Cobet. Mnem. nov. I 235. quidni Πόσειδον vel φίλε Ζεῦ? ut Herwerd. Obs. crit. 25. 2. ὑμῖν] ἡμῖν Meinek., qui versum 3 alteri personae tribuit. πόλις, ut Cratin. 228. Plat. Phaedr. 253 d ἄπληκτος ἵππος κελεύματι μόνον καὶ λόγῳ ἡνιοχεῖται. Homer. Il. 23, 387 et Pind. Ol. 1, 20 comparat Raspius.

233

ἡ δ' ὑστάτη ποῦ 'σθ'; Β. ἥδε Κύζικος πλέα στατήρων.
Α. ἐν τῇδε τοίνυν τῇ πόλει φρουρῶν ποτ' αὐτὸς
γυναῖκ' ἐκίνουν κολλύβου καὶ παῖδα καὶ γέροντα,
κἀξῆν ὅλην τὴν ἡμέραν τὸν κύσθον ἐκκορίζειν.

Schol. Aristoph. Pac. 1176 εἰς κιναιδίαν διαβάλλεται (Κύζικος) ὥστε μηδὲ τῶν ἀναγκαίων διὰ τὴν εὐρύτητα κρατεῖν δύνασθαι, ὡς καὶ Εὔπολις ἐν Πόλεσιν· ἡ δ' ὑστάτη κτλ. 1. ἡ δ' ὑστάτη τίς ἥδε; Β. κτλ. Cobet. Obs. crit. 189. ac profecto mirum est interrogari *ubi* haec ultima sit civitas. fortasse ἡ δ' ὑστάτη τοὖσθ' ἥδε Κύζικος κτλ., i. e. τοί ἐστι. 2. ἐγώ post φρουρῶν add. Hermann. non accedo. 3. γυναῖκ' ἐκίνουν (scrib. cum Dind. ἐβίνουν) κολλύβου Herm.] ἐκίνουν δὲ γυναῖκα κολύβου V. 4. κἀξῆν ὅλην Herm. καξηνὅ V. κύσθον Herm.] σκύθον. gloriatur Euelpides nescio quis (cf. Aristoph. Av. 137 sq.), quod in urbe opulenta, ubi noctes stateribus emerentur, ipse venustate effecerit et elegantia, ut paene gratis scortaretur. pro ποτ' αὐτός, quod pronomen ineptum esse etiam Cobetus censet (Obs. crit. 189 adn. 1), scribendum videtur μετ' Αὐτοκλείδου, *Autoclide imperatore*. Autoclides idem qui *Autocles* Thuc. 4, 53. 119. cf. quae supra ad fr. 210 adnotavimus. is Autocles idemne sit cum eo quem Lys. 3, 12 commemorat nescio. ceterum *stateres* Cyziceni aurei sunt et propterea Graecis, qui argenteis fere nummis utebantur, admodum grati. cf. Lys. 32, 6. Demosth. 34, 23. Phot. Hesych. Suid. Κυζικηνοὶ στατῆρες. Hultsch Metrol. 268.

234

ἄσπουδος δ' ἀνὴρ σπουδαρχίδου κακίων.

Bekker. Anecd. 453, 21 ἄσπουδος· ὁ μὴ σπουδαῖος. οὕτως

Ἀρχίδης. Εὔπολις Πόλεσιν ἄσπουδος δ' ἀνὴρ σπουδαίου κακίων. Meinekius *ἄσπουδος· ὁ μὴ σπουδαρχίδης. οὕτως Εὔπολις Πόλεσιν κτλ. σπουδαρχίδου.* cf. Aristoph. Ach. 595. desumpta haec esse videntur ex syntagmate iambico, in quo *λόγος ἥττων* nescio quis demagogos defendebat. initio versus desunt tres syllabae.

235

ἔστι δέ τις θήλεια Φιλόξενος ἐκ Διομείων.

Schol. Aristoph. Vesp. 82 *καὶ γὰρ ὁ Φιλόξενος ἐκωμῳδεῖτο ὡς πόρνος. Εὔπολις Πόλεσιν κτλ.* de *Philoxeno* cf. Aristoph. Nub. 686. Ran. 934 et plura apud Bergkium R. c. Att. 218 sq. Hieroclem loqui oraculum fundentem arbitratur Raspius 105.

236

ὦ δέσποτα, καὶ τάδε νῦν ἄκουσον, ἃν λέγω σοι.

Schol. Hephaest. 15, 3 extr. *ἔσθ' ὅτε καὶ τὰς ἰαμβικὰς ἐπιμιγνύουσι ταῖς κατειλεγμέναις συζυγίαις, τῇ τε ἰωνικῇ καὶ τῇ χοριαμβικῇ, πάλιν προσοδιακὸν καλοῦντες, ὥσπερ Εὔπολις ἐν ταῖς Πόλεσιν· ὦ δέσποτα κτλ. ἃν* Dobr. apud Gaisf.] *ἃ* Turn. E. versus est Archilochius. cf. G. Herm. El. doctr. metr. 593. Opusc. V 208.

237

Schol. Aristoph. Ran. 970 (*Θηραμένης*) *δοκεῖ προσγεγράφθαι τῇ πολιτείᾳ Ἅγνωνος αὐτὸν ποιησαμένου, ὡς Εὔπολις Πόλεσιν.* cf. Xen. Hell. 2, 3, 30. Schol. Aristoph. Ran. 541 *Ἅγνωνος παῖς, Στειριεὺς τῶν δήμων.*

238

Schol. Lucian. Tim. 30 (*Ὑπερβόλου*) *ὡς παρελθόντος νέου τῷ βήματι μέμνηται . . . Εὔπολις Πόλεσι. προσελθόντος* Hemsterhusius.

239

Schol. Platon. 331 Bekk. *Εὔπολις ἐν Πόλεσι διὰ τὴν χροιὰν πύξινον* (*Χαιρεφῶντα*) *καλεῖ.* Schol. Aristoph. Vesp. 1408. interpr. Nub. 104.

240

Schol. Aristoph. Acharn. 504 *εἰς τὰ Διονύσια ἐτέτακτο Ἀθήναζε κομίζειν τὰς πόλεις τοὺς φόρους, ὡς Εὔπολίς φησιν ἐν Πόλεσιν.* cf. schol. 378.

241

Harpocratio 14, 22 *μνημονεύουσι δὲ οἱ κωμικοὶ πολλάκις τῶν*

ἀμοργίνων ὡς καὶ Ἀριστοφάνης Λυσιστράτῃ καὶ Εὔπολις Πόλεσιν. ad *Amorgum* insulam, unam ex Cycladibus, haec rettulit Raspius 88. ac potest in adnominatione poeta lusisse: nam vestes *amorginas* ab Amorgo nomen accepisse non necessarium est statuere. cf. Cratin. 96.

242

γράσος

εἴρηται ἀλλαχοῦ καὶ ἐν Πόλεσιν Εὐπόλιδος (ἡ ἐν τοῖς τράγοις δυσωδία). Pollux 2, 77. Hesych. γράσος· δυσοσμία.

Ad Civitates referunt Meinekius fr. 392, fr. 312 M. Schmidtius Hesych. ἄπλυτοι ῥαφανῖδες (I 242). cf. etiam fr. 457 et Philyll. 17.

ΠΡΟΣΠΑΛΤΙΟΙ

Etym. m. 288, 15 ἐκωμῳδοῦντο . . . Προσπάλτιοι ὡς δικαστικοί. hinc Meinekius I 141. 2 et Bergkius R. c. Att. 357 sq. hac fabula litium cupiditatem exagitatam esse coniecerunt. multo magis dubium est quod Bergkius Euthyphronem ut Prospaltium potissimum ab Eupolide traductum esse existimat (cf. fr. 245): cui opinioni Euthyphronis Platonici aetas non admodum favet. Herculem inter Prospaltiorum personas fuisse Fritzschius statuit apud Toeppelium De Adulat. p. 62 adn. acta est ante Nubium II parabasin ab Aristophane scriptam, i. e. ante Ol. 90, 2. Aristoph. Nub. 541 οὐδὲ πρεσβύτης ὁ λέγων· κτλ., ubi scholia ὡς Εὔπολις ἐν τοῖς Προσπαλτίοις. cf. mea Nubium ed. §. 29. Bergk. 359. Wilamowitz. Obs. crit. 31 et fr. 249.

243

μήτηρ τις αὐτῷ Θρᾷττα ταινιόπωλις ἦν.

Athenaeus 7, 326a ὅταν δ' Εὔπολις ἐν Προσπαλτίοις λέγῃ· μήτηρ — ἦν, ἐπὶ τῶν ὑφασμάτων λέγει καὶ τῶν ζωνῶν, αἷς αἱ γυναῖκες περιδέονται. Eustathius 1934, 33 ὡς ὁ Ἀθήναιος λέγει, Θρᾷτταν ταινιόπωλιν· αἱ γὰρ ταύτης ταινίαι οὐκ ἰχθῦς δηλοῦσιν, ἀλλ' ἐπὶ ὑφασμάτων κτλ., ut Athen. — ἦν Schweigh.] τὴν sine interpunctione coniunctum cum ἐπὶ τῶν κτλ. Demosth. 57, 34 confert Meinekius. sed quae et ipse et Bergkius R. c. Att. 357 ex his verbis eliciunt perquam videntur incerta esse.

244

τὸ δεινῆς ἀκούεις; Ἡράκλεις, τοῦτ' ἔστι σοι
τὸ σκῶμμ' ἀσελγὲς καὶ Μεγαρικὸν καὶ σφόδρα
ψυχρόν. γελᾷς, ὡς ὁρᾷς, τὰ παιδία.

Aspasius Aristot. Eth. Nicom. 4, 6 σύνηθες ἐν κωμῳδίᾳ παραπετάσματα δέρρεις ποιεῖν, οὐ πορφυρίδας. Μυρτίλος ἐν Τιτανόπασι τὸ δεινῆς κτλ. interpungendum post Τιτανόπασι. cf. Myrtil. 1. quae sequuntur Eupolidis ex Prospaltiis esse docet Schol. Aristoph. Vesp. 58 ὡς τῶν Μεγαρέων γελώντων καὶ ἄλλως φορτικῶς γελοιαζόντων. Εὔπολις Προσπαλτίοις· τὸ σκῶμμ' ἀσελγὲς καὶ Μεγαρικὸν σφόδρα. cf. Arist. Nub. 541 οὐδὲ πρεσβύτης ὁ λέγων τἄπη τῇ βακτηρίᾳ τύπτει τὸν παρόντ' ἀφανίζων πονηρὰ σκώμματα. ubi schol. ὡσ Εὔπολις ἐν τοῖς Προσπαλτίοις. 1. δεινῆς] δεινῶς cod. ms. Gaisf. Hephaest. p. 97 corr. τὸ δεῖν' vel ὁ δεῖν' Meinek. τοῦ δεῖνος Fritzsch. Act. soc. gr. I 131 spectatorem qui quae sequuntur dicat significari monens. 2. Μεγαρικὸν καὶ] μαγειρικὸν Bentl. at coquis tum nondum utebantur Athenienses. 3. γελῶσιν Dobr. Pors. Misc. 384. γελᾷ σφόδρ' vel γελᾷ δ' οὖν Fritzschius. ψυχρὸν γελᾷς. γελῶσ', ὁρᾷς κτλ. Bergk. R. c. Att. 359 versu pessimo. γελᾷ γάρ, ὡς κτλ. Cobet. N. l. 160. 'tres in scaena versantur actores, quorum cum unus inficetum in modum iocatus esset, alter ad tertium conversus *audin* inquit *quae iste nugatur*' Meinekius. at ei sententiae neque τὸ δεῖνα quod eius est qui rem sibi cognitam in memoriam revocare non potest, neque ὁ δεῖνα convenit, quo aliquis vocatur qui aut vocantem antea non vidit aut se vocatum iri non exspectavit. itaque non liquet. Wilamowitzii interpretationem Herm. VIIII 328 ex parte iam a Fritzschio prolatam refellit Meinekius. sine dubio Eupolis non ut Bergkio videbatur (359. 60) se ipse castigat illis versibus, sed ut Aristophanes in Ranarum exordio aemulorum nescio quos frigidos iocos inridet.

245

τί καταχροᾶσθέ μου τὰ μουσοδονήματα;

Priscianus 18, 225 *Attici* καταχροᾶσθαι τούτου καὶ τοῦτον. Εὔπολις Προσπαλτίοις κτλ. καταχροᾶσθε ed. Scap. Ox.] ΚΑΤΑΚΡΟΑϹΘΑΙ VR. ΚΑΤΑΚΡΟΑϹΕΑΙ M. Euthyphronem loqui arbitratur Bergkius 360 conl. Plat. Cratyl. 396c ἀτεχνῶς γέ μοι δοκεῖς ὥσπερ οἱ ἐνθουσιῶντες χρησμῳδεῖν. ΣΩΚΡ. καὶ αἰτιῶμαί γε . . . μάλιστα αὐτὴν ἀπὸ Εὐθύφρονος τοῦ Προσπαλτίου προσπεπτωκέναι μοι . . . κινδυνεύει οὖν ἐνθουσιῶν οὐ μόνον τὰ ὦτά μου ἐμπλῆσαι τῆς δαιμονίας σοφίας, ἀλλὰ καὶ τῆς ψυχῆς ἐπειλῆφθαι. cf. 399a. 408d. 409d κινδυνεύει ἡ τοῦ Εὐθύφρονός με μοῦσα ἐπιλελοιπέναι. potuerunt tamen illa etiam a quovis Agathone dici.

246

πάντα γὰρ τυχὼν ἄπει.

Priscianus 18, 190 *impetro illam rem dicimus, sicut et Attici.*

Εὔπολις . . . Προσπαλτίοις· πάντα κτλ. ἄπει Putschius] ΑΠΙ VRO. ΑΙΠ M. '*omnibus bene peractis.*'

247

ὅτι χωλὸς τὴν χεῖρα σὺ σφόδρα.

Proverb. Milleri (Mélanges 362) *Κύλλου πήραν· . . . κυλλοὺς δὲ Ἀττικοὶ καὶ ἐπὶ τῶν χειρῶν καὶ ἐπὶ τῶν ποδῶν ὁμοίως λέγουσι, καὶ χωλοὺς τοὺς χεῖρα πεπηρωμένους, ὡς καὶ Εὔπολις ἐν Προσπαλτείοις κτλ.* cf. quae adnotavimus ad fr. 343. proclive est post *χωλός* inserere *εἶ*, ut sit trimeter ultimo pede mutilatus.

248

ἢ πηλὸν ὀργάζειν τινά

Schol. Aristoph. Av. 839 *ὄργασον ἀντὶ τοῦ μάλαξον. Εὔπολις Προσπαλτίοις κτλ. πηλὶν ὀργάζειν* Ruhnk. Tim. 180] *πηλὸς ὀργιάζειν. τινά* pendet ab eo quod excidisse videtur *δεῖ.*

249

Schol. Platon. 391 Bekk. *Κρατῖνος δὲ Ὀμφάλῃ τύραννον αὐτὴν (Ἀσπασίαν) καλεῖ, Χείρων Εὔπολις Φίλοις· ἐν δὲ Προσπαλτίοις Ἑλένην αὐτὴν καλεῖ.* hinc effici videtur non multo post mortem Periclis fabulam actam esse. cf. Cratin. 241. Eupol. 274.

ΤΑΞΙΑΡΧΟΙ

De forma *ταξίαρχος* cf. Herodian. I 230, 11 Lentz. taxiarchos denos quotannis a populo Atheniensium creatos esse docet Pollux 8, 87. praeerant cum strategis copiis pedestribus, ut *ἵππαρχοι* bini numero et deni *φύλαρχοι* equitibus. chorum comoediae efficere non poterant, nisi nobilissimi ex taxiarchis multorum annorum eligerentur. argumentum comoediae adumbravit Meinekius I 143sq. Schol. Aristoph. Pac. 347 *Διόνυσος ἐν Ταξιάρχοις . . . μανθάνων παρὰ τῷ Φορμίωνι τοὺς τῶν στρατηγιῶν καὶ πολέμων νόμους.* similiter Aristophanes in Ranis Bacchum ipsum ad inferos descendentem fecit ut tragicorum optimum Athenas reduceret.

Phormionem cum aut exeunte Ol. 87, 4 aut ineunte Ol. 88, 1 mortuum esse ex Thuc. 2, 103. 3, 7 probabiliter efficiatur, cum Meinekio ante hoc tempus actam esse comoediam existimo. contra Wilamowitzius Obs. crit. 32sq. Phormionem mortuum esse Ol. 87, 4, Taxiarchos actam esse Ol. 88, 1 contendit. at tum in orco

scaenam fuisse oportet, sicuti in Ranis. de *Phormione* cf. Thuc. 1, 117. 2, 29. 58. 68. 9. 80—92. 102. 3. 3, 7. 17. Paus. 1, 23, 10. 1, 29, 3. 10, 10, 6. interpr. Aristoph. Eq. 562. Pac. 347. Lys. 804, et de capitis deminutione, qua Athenienses eum adfecerunt, Boeckh. Oec. Ath.[2] I 515. III Addend. V sq. et apud Meinekium II 527. 8.

250

ΦΟΡΜ. *οὔκουν περιγράψεις ὅσον ἐναριστᾶν κύκλον;*
ΔΙΟΝ. *τί δ' ἔστιν; εἰς ὤμιλλαν ἀριστήσομεν;*
ἢ κόψομεν τὴν μᾶζαν ὥσπερ ὄρτυγα;

Pollux 9, 102 *εἰ μὲν οὖν κύκλου περιγραφέντος ἀφιέντες ἀστράγαλον ἐστοχάζοντο τοῦ μεῖναι τὸν βληθέντα ἐν τῷ κύκλῳ, ταύτην εἰς ὤμιλλαν τὴν παιδιὰν ὠνόμαζον. καίτοι με οὐ λέληθεν, ὅτι καὶ ὄρτυγα ἐνιστάντες τῷ περιγραπτῷ κύκλῳ, ὁ μὲν ἔκοπτε τὸν ὄρτυγα τῷ δακτύλῳ, ὁ δὲ πρὸς τὴν πληγὴν ἐνδοὺς ἀνεχαλτισεν ἔξω τοῦ κύκλου, καὶ ἥττητο ὁ τοῦ ὄρτυγος δεσπότης. ἐν γοῦν Ταξιάρχοις Εὔπολις τοῦ Φορμίωνος εἰπόντος· οὐκοῦν — κύκλον; ἀποκρίνεται· τί δ' ἔστιν κτλ. οὔκουν* Cobet N. l. 111] *οὐκοῦν*. qui cum Phormione conloquitur Dionysum esse recte statuit Meinekius. cum Phormio 'prandentibus triclinii mensaeque loco circulum sufficere dixisset in telluris humo ducendum, offensus tam simplici cenae adparatu deus respondet *τί δ' ἔστιν κτλ.*' Mein. I 144. *ἀριστήσομεν* παρ' ὑπόνοιαν pro *παίσομεν*. de *ὤμιλλα* voce cf. Lobeck. Pathol. prol. 120. el. I 69. Suid. *ὤμιλλα· παιδιά τις, ἐν ᾗ ὁ εἰς τὸν κύκλον βαλὼν κάρυον ὥστε ἐμμεῖναι νικᾷ*. Hesych. *ὤμιλλα· παιδιά τις, ὅταν κύκλον περιγράψαντες βάλωσιν εἰς αὐτὸν κάρυα, εἶτα ἐν τῷ κύκλῳ μ . . . . λαμβάνει*. cf. fr. 288.

251

ἀντὶ ποικίλου
πιναρὸν ἔχοντ' ἀλουτίᾳ κάρα τε καὶ
τρίβωνα

Pollux 7, 168 *ἀλουσίαν δὲ Εὔπολις ἐν Ταξιάρχοις· ἀντὶ ποικίλου κτλ.* de *ἀλουτίᾳ* cf. Lob. Phryn. 507. queri videtur Dionysus de vestis squalore et diuturna inluvie. Mein. I 149. ad *ποικίλου* nequaquam supplendum *ἱματίου*, ut putabat Cobetus Mnem. V 107. cf. Cratin. 38. at in *κάρα* pro *κεφαλήν* posito idem recte offendit; ea enim voce non utuntur comici nisi *παρατραγῳδοῦντες*. an *γεροντικὸν τρίβωνα?* nam Bacchus est in omne tempus *iuvenis*. ceterum Herwerdenus Stud. crit 56 caesuram desiderans in dimetros digerit *ποικίλου* | *πιναρὸν* — *ἀλουτίᾳ* | *κάρα κτλ.* cum ipse

lavandi occasionem non habeat, etiam sagum sordidum factum dicit, quod moneo propter Cobetum.

252

ὅτ' ἦν μέντοι νεώτερος, κρόκης
πέντε στατῆρας εἶχε, ναὶ μὰ τὸν Δία.
B. νῦν δὲ ῥύπου γε δύο τάλαντα ῥᾳδίως.

Pollux 9, 58 *Εὔπολις ἐν μὲν Δήμοις τὸ νόμισμα δηλοῖ λέγων* '*ἔχων στατῆρας κτλ.*' *ἐν δὲ Ταξιάρχοις τὴν ῥοπὴν λέγει· ὅτ' ἦν κτλ.* 2. *εἶχε*] *ἦγε* Meinekius, *εἷλκε* Cobetus. Mnem. V 108 'quod Atticis multo est in tali re usitatius'. 3. *B.* add. K. — fr. 251 et 252 in unum coniungebat Meinekius: cui iure adversatur Cobetus Mnem. V 107. neque Dionysus neque *τρίβων* dici poterat *νεώτερος*. significari videtur *Phormio*, cuius habitus fr. 252 describitur ut Bacchi 251. 'eo tempore quo nondum senex erat, (vestis eius) quinque stateras lanae habebat.' B. 'at nunc facile duo talenta sordium.'

253

δίδου μασᾶσθαι Ναξίας ἀμυγδάλας,
οἶνόν τε πίνειν Ναξίων ἀπ' ἀμπέλων.

Athenaeus 2, 52 d *ἐπακτικώτατα δὲ πρὸς ποτὸν τὰ ἀμύγδαλα προεσθιόμενα. Εὔπολις· δίδου κτλ. ἦν δέ τις ἄμπελος Ναξία καλουμένη.* Ammonius *ἀμυγδαλῆ* (p. 12) *ἀμυγδάλη δὲ παροξυτόνως τὸν καρπόν. καθὰ καὶ Εὔπολις ἐν Ταξιάρχοις φησί· δίδου — ἀμυγδάλας.* cf. Bachmann. Anecd. II 376. Bacchi verba esse amygdala vinumque poscentis Meinekius statuit I 144. an scribendum *ἐδίδου*? de accentu vocis *ἀμυγδαλῆ* cf. Herodian. I 321, 22 Lentz. Athen. 2, 52 f. Pherecr. 148. Phryn. 60.

254

ὡς οὐκέτ' ἂν
φάγοιμι . . . στιβάδος ἐξ ὅτου ῎φυγον.

Schol. Aristoph. Pac. 347 *οἱ τὰ πολεμικὰ ἐξασκησάμενοι ὑπὸ γυμνασίων καὶ πόνων εἰώθασι χαμαικοιτεῖν. καὶ Διονύσιος* (Meinek. *Διόνυσος*) *ἐν Ταξιάρχοις ῾παρ' Εὐπόλιδι μανθάνων παρὰ τῷ Φορμίωνι τοὺς τῶν στρατηγιῶν καὶ πολέμων νόμους φησίν· ὡς κτλ.* Suidas *Φορμίων· καὶ παροιμία Φορμίωνος στιβὰς ἐπὶ τῶν εὐτελῶν. οὗτος γὰρ ὁ Φορμίων ἀγαθὸς ἐγένετο στρατηγός. καὶ ἐν Ταξιάρχαις δὲ φέρεται ὡς ἐπίπονος . . . καὶ Διονύσιος* (*Διόνυσος*) *ἐν Ταξιάρχαις· ὡς κτλ.* *φάγοιμι*] *φύγοιμι* Suid. A et schol. Ar. V. *ὅτου*] *ὅσου* Suid. A. *φύγον* Suid.] *φάγον* schol. Ar. V. lacunam indicavit Meinekius. Bergk. R. c. Att. 361 . . *φάγοιμι, στιβάδας ἐξ ὅτου ῎φαγον.* Cobetus N. l. 154 *ὡς οὐκέτ' ἂν φύγοιμ' ἐγώ,* | *ἐν Φορμίω-*

νος στιβάδος ἐξ ὅτου ᾿φαγον. 'φαγεῖν et γεύσασθαί τινος iocose dicuntur pro πειραθῆναι, ἀνασχέσθαι.' H. Iacobi (V 38) ὡς οὐκέτ' ἂν | λίποιμι τάξιν, στιβάδος ἐξ ὅτου ᾿φαγον. ac talia multa excogitari possunt. quid scripserit poeta, prorsus incertum est. nam deus sive dicit 'postquam cibis me ingurgitavi, ne durissimos quidem belli labores detrecto' (sic fere Meinekius), sive 'numquam posthac militum cibos attingam (e. c. σκόροδα φάγοιμι), postquam aerumnosam Phormionis disciplinam (στιβάδας) effugi', nihil dicit suo ingenio alienum.

255

ἐπιφαγεῖν μηδὲν ἄλλ' ἢ κρόμμυον
λέποντα καὶ τρεῖς ἁλμάδας.

Athenaeus 4, 170d ἐπεσθίειν δ' εἴρηκε Τηλεκλείδης . . . ἐπιφαγεῖν δ' Εὔπολις Ταξιάρχοις κτλ. λέποντα Meinek.] βλέποντα. cf. Eupol. 427. Antiphan. Athen. 4, 161 a. Xen. Memor. 3, 14, 3. Bergk. 360. Meinek. III 76. trimetrorum reliquias constituit Meinekius, in Athenaei tamen editione ad tetrametros rediit ἐπιφαγεῖν | μηδὲν κτλ. Phormionis esse deum ad simplicem militiae victum revocantis idem arbitratur I 144. possunt etiam Bacchi esse de eadem re querentis.

256

ὅστις πύελον ἥκεις ἔχων καὶ χαλκίον,
ὥσπερ λεχὼ στρατιῶτις ἐξ Ἰωνίας.

Pollux 10, 63 πύελον δὲ ὁμοίως ἐν Ταξιάρχοις· ὅστις πύελον ἥκεις κτλ. καὶ γὰρ τὸ χαλκίον ἕν τι τῶν λουτρῶν ὥσπερ καὶ λέβης. '*qui urnam et ahenum portas, tamquam puerpera Ionica militiam et castra sequens.* nempe in Ionia mos erat ut uxores comitarentur maritos militantes: ubi si quae forte peperisset, vasa circumferebat balneatoria.' Bentl Epist. Hemsterh. II 55. eum morem ex hoc ipso fragmento Bentleius videtur finxisse. in Ionia enim mulieres severissime domi continebantur. sed ea disciplina divitiorum hominum fuit, non pauperum infimi ordinis. Bacchum compellari cum delicatulae vitae instrumentis Phormionis castra sequentem statuit Meinek. I 144. cf. fr. 264.

257

οὐκ ἢν φυλάττῃ γ' ὧδ' ἔχων τὴν ἀσπίδα.

Photius et Suidas ὧδε· τὸ δὲ οὕτως ἐν τοῖς πλείστοις δηλοῖ. Εὔπολις Ταξιάρχοις κτλ. verba sunt Phormionis deum erudientis. '*non* te vulnerabit hostis, *si sic* ut tibi monstro *clipeum tenens* ab impetu eius *cavebis*.'

258

οὐ θᾶττον αὐτὴν δεῦρό μοι τῶν τοξοτῶν
ἄγων ἀποκηρύξει τις ὅ τι ἂν ἀλφάνῃ;

Bekker. Anecd. 382, 8 et Suidas ἀλφάνει· εὑρίσκει . . . Εὔπολις Ταξιάρχοις κτλ. ἄγων om. Suid. ὅ,τι ἂν] ἐὰν Suid. ἔστ' ἂν Iacobs. Addit. 193. interrogationis signum in fine posuit K. — Harpocr. 27, 16 ἀποκηρύττοντες· ἀντὶ τοῦ πιπράσκοντες. Ammon. p. 81 ἀποκηρῦξαι λέγουσιν ἐπὶ τοῦ ὑπὸ κήρυκι ἀποδίδοσθαί τι. cf. Plat. 121. Demosth. 23, 201 οἱ τὰ μικρὰ καὶ κομιδῇ φαῦλα ἀποκηρύττοντες. ὅ,τι ἂν ἀλφάνῃ '*quovis pretio*'. Meinek. cf. Aristoph. fr. 324. videtur Phormio imperare ut nescio quae puella, fortasse a Baccho in castra adducta, venumdetur.

259

ἐγὼ δέ γε στίξω σε βελόναισιν τρισίν.

Pollux 10, 136 καὶ βελόνης δὲ τοὔνομα ἐν Εὐπόλιδος Ταξιάρχοις κτλ. servi praecipue *fugitivi* in fronte compungi solebant. itaque militem fugitivum ad eam poenam a taxiarcho aliquo condemnari Hemsterhusius arbitratur. Phormionem Baccho minari opinio est Bothii. quid tamen *tria* illa stigmata sibi velint nescio.

260

Schol. Aristoph. Av. 1294 Δίδυμος· ὡς τοιούτου τὴν ὄψιν ὄντος μνημονεύει αὐτοῦ (Ὀπουντίου) καὶ μέγα ῥύγχος ἔχοντος καὶ ὁ τὰς Ἀταλάντας γράψας, καὶ Εὔπολις ἐν Ταξιάρχαις. cf. interpr. Aristoph. Av. 152.

261

ὄνος ἀκροᾷ σάλπιγγος

Εὔπολις Ταξιάρχαις. Photius et Suidas. omisso poetae nomine Proverbia Coisl. 364. ἀκροᾷ Suid. AB pro ἀκροᾶται (Phot.) verissime. videtur initium esse trimetri. de syntaxi cf. Cratin. 52. fortasse Phormio Bacchum compellat.

262

ἀγκυρίσας ἔρρηξεν

Bekker. Anecd. 81, 4 ἀγκυρίσαι· ἐπὶ τοῦ παλαίσματος. ἀγκυρίσας ἔρρηξεν. Ἀριστοφάνης Ἱππεῦσιν. idem 327, 10 ἀγκυρίσας· κάμψας τὸν πόδα. σχῆμα δέ ἐστι παλαιστρικόν. Εὔπολις Ταξιάρχοις. in Equitibus (262) solum ἀγκυρίσας exstat. itaque veri simillimum est verba quae supra exscripsi ex Taxiarchis excerpta, ab Antiatticista autem falso Aristophani tributa esse. cf. Bergk. R. c. A. 365 sq. contra Fritzschius De com. gr. fr. 6 ab utroque grammatico Aristophanem dici et apud Antiatticistam εἴρηκεν pro ἔρρη-

ξεν scribendum esse, lemma autem *Εὔπολις Ταξιάρχοις* ad aliam glossam vicinam pertinere arbitratur. ad palaestricas Bacchi exercitationes recte rettulisse videtur Meinekius.

263

σιδηρῖτιν τέχνην

ἐν Ταξιάρχαις Εὔπολις εἴρηκε τὴν Ξανθίου τοῦ σιδηρέως οὗ ἐπὶ τῆς εἰκόνος ἐπιγέγραπται σιδηρόφυσα (*σιδηροφύσσα* A, *σιδηροφυής* vulgo, om. BC). Pollux 7, 106. Hesych. *σιδηρῖτιν τέχνην· τὴν πολεμικήν, ἄλλοι δὲ τὴν Ξανθίου φασίν, ἤγουν τὴν χαλκευτικήν.* nomen *Xanthiae* fabri ferrarii aliunde non cognitum.

264

σκευοφοριώτην

τὸν σκευοφόρον ἐν Ταξιάρχοις Εὔπολις παίζων ἐκάλεσεν. Pollux 10, 17. 'Dionysum adpellat nescio quis', Phormio fortasse (cf. fr. 256), 'solemnem dei adpellationem *εἰραφιώτης*', de qua cf. Preller Myth. gr.[2] I 521. 561 adn. 2, 'ludibrii causa in *σκευοφοριώτην* inmutans'. Meinek. I 145. atque *εἰραφιῶτα* Hymn. hom. 3, 2 iam Hemsterhusius comparavit. cf. Fritzsch. Aristoph. Ran. p. 8.

ΥΒΡΙΣΤΟΔΙΚΑΙ

Haec fabula etsi tam egregia multis videbatur, ut Ephialtes nescio quis eam ne moriens quidem de manibus voluerit deponere, tamen fragmenta non exstant. Ptolem. Hephaest. Phot. Bibl. 190 p. 151a 10 *τελευτήσαντος Δημητρίου τοῦ Σκηψίου τὸ βιβλίον Τέλλιδος* (?) *πρὸς τῇ κεφαλῇ εὑρέθη . . . τοὺς δ' Ὑβριστοδίκας Εὐπόλιδος πρὸς τῇ Ἐφιάλτου*, qua de fabula cf. quae monuit Hercherus Ueb. d. Glaubwürd. d. Neuen Gesch. d. Ptolem. Chennus Annal. philol. suppl. I 13 (279) et quae adnotavimus ad Cratini Eunidas. Pollux 8, 126 *ὑβριστοδίκαι δὲ ἐκαλοῦντο . . . οἱ μὴ βουλόμενοι τὰς δίκας εἰσαγαγεῖν. ἐπεπόλασε δὲ τὸ τοιοῦτον ἐν Σικελίᾳ.* quae quid significent quamquam obscurum est, pertinere tamen ad Eupolidis fabulam videntur. Photius *ὑβριστοδίκαι· ἐπὶ τῶν μὴ ἐθελόντων εἰσάγειν τὰς δίκας.* Hesych. *ὑβριστοδίκαι· οἱ μὴ θέλοντες εἰσάγειν τὰς δίκας παρὰ Ἀττικοῖς.* Meinek. I 101. 145.

ΦΙΛΟΙ

Ol. 88, 4 Dionysiis actam et incestos potissimum puerorum amores exagitatos Demumque apud lenam in fornice prostantem a poeta exhibitum fuisse statuit Wilamowitzius Obs. crit. 48—54.

265

νὴ τὸν Ποσειδῶ, κοὐδέποτέ γ' ἴσχει θύρα.

Schol. Aristoph. Acharn. 127 *παροιμία ἐπὶ τῶν πολλοὺς ξένους ἀποδεχομένων 'οὐδέποτ' ἴσχει ἡ θύρα'. μέμνηται καὶ Εὔπολις ἐν Φίλοις. κοὐδέποτέ γ' — θύρα* Elmsl. in Addend. Ach.] *οὐδέποτ' — ἡ θύρα*. cupidos Demi amatores significari opinatur Wilamow. 50.

266

οὐ δεινὰ ταῦτα δὲ Ἀργείας φορεῖν
σχιστὰς ἐνεργεῖν.

Ammonius Differ. verb. p. 133 *σχισταί· τὰ ὑποδήματα. Εὔπολις Φίλοις κτλ. φορεῖν* Cobet. N. l. 156] *φέρειν*. ex Ptol. Ascalon. §. 210 varietatem *ἐνεγκεῖν* enotat Valckenaer. Scaligeri emendationem *οὐ δ. ταῦτά γ' Ἀργείας φ. σχιστάς; ἐνεργεῖν;* non intellego. Pollux 7, 85 *σχισταὶ πολυτελὲς ὑπόδημα καὶ θρυπτικόν· ταύτας δὲ καὶ λεπτοσχιδεῖς ὠνόμαζον.* et 88 *αἱ δὲ Ἀργεῖαι παντὶ δῆλον ὡς Ἀργείων τὸ εὕρημα.* Hesych. *Ἀργεῖαι· ὑποδήματα πολυτελῆ γυναικεῖα.* Fritzschius Ran. p. 195 *οὐ δεινὸν ἐνταυθὶ μὲν Ἀργείας φέρειν, σχιστὰς δ' ἐν Ἄργει; 'nonne indignum est hic* (Athenis) *Argivos calceos, scissos autem gestare Argis?'* Cobetus *οὐ δεινὰ ταῦτα δ' ἐστίν; Ἀργείας φορεῖν σχιστάς;* 'exprobrat alicui nescio quis cultum nimis elegantem'. atque ita fere Herwerdenus Obs. crit. 26 (*δή 'στιν*), qui tamen postea (Stud. crit. 77) aliam emendationem admodum contortam excogitavit. at *σχιστάς* et *Ἀργείας* easdem fuisse non credo, quamquam ita etiam Wilamow. 36. 7 not. 23.

267

ῥέγκειν δὲ τοὺς ὅλμους. οἴμοι τῶν κακῶν.

Photius *ὅλμοι καὶ ὑφόλμια· ἐπὶ αὐλῶν. Εὔπολις Φίλοις κτλ. ὅλμους ἄν* Meinekius. *ἰώ μοι τῶν κακῶν* Herwerdenus Obs. crit 27 aut convicium his verbis contineri in inperitum tibicinem censens aut tibiarum usum reprehendi tam crebrum, ut ligulae tristem sortem querentes exclament 'vae mihi'. prius verum videtur.

268

οὐκ ἐσωφρόνησας, ὦ πρεσβῦτα, τὴν κατάστασιν
τήνδε λαμβάνων ἄφνω πρὶν καὶ μαθεῖν τὴν ἱππικήν.

Harpocratio et sine fabulae nomine Photius et Suidas *κατάστασις· . . . ἔοικεν ἀργύριον εἶναι ὅπερ οἱ κατασταθέντες ἱππεῖς ἐλάμβανον ἐκ τοῦ δημοσίου ἐπὶ τῇ καταστάσει . . . παρεμφαίνει τοῦτο καὶ Εὔπολις Φίλοις κτλ.* cf. Boeckh. Oec. Att.[2] I 354. non intellego *τήνδε*. an scribendum *τῇδε* et cogitandum de ea arte equestri, quam Athenienses verbo *κελητίζειν* significabant? Aristoph. Vesp. 501.

269

Χῖος δεσπότην ὠνήσατο

Athenaeus 6, 266f *τὸ δαιμόνιον* (*τοῖς Χίοις*) *ἐμήνισε πρώτοις χρησαμένοις ὠνητοῖς ἀνδραπόδοις . . . μήποτ' οὖν διὰ ταῦτα καὶ ἡ παροιμία . . . ᾗ κέχρηται Εὔπολις ἐν Φίλοις*. Eustathius 1462, 36. offendit forma Ionica (*ὠνήσατο*). cf. Lobeck. Phryn. 138. quocirca Meinekius aut Athenaeum hoc proverbium confudisse cum alio quodam aut Ionicam formam in proverbio Ionico servatam, Cobetus Mnem. V 108. 110 Eupolin eodem proverbio, non eisdem verbis usum esse statuit.

270

εὐφρανῶ δὲ νώ

Apollonius De pron. 85, 21 Schneid. *μονοσυλλάβως* (*νώ*) *Εὔπολις Μαρικᾷ . . . καὶ ἔτι ἐν Φίλοις κτλ.*

271

τί μισθοῖ; ποῖ; πόση τις ἡ φορά;

Pollux 7, 133 *Ἀριστοφάνης δ' ἐν τοῖς Ἥρωσι* (fr. 300) *δοκεῖ τὸ κόμιστρον κατὰ τὸ νῦν ἔθος εἰρηκέναι τὴν φοράν. τούτῳ δ' ἂν ἐοίκοι καὶ τὸ ἐν τοῖς Φίλοις Εὐπόλιδος κτλ. τιμῆς εἴποι τις πόση ἡ διαφορά* A. *ἀλλ' εἰς τί μισθοῖ*; Bekkerus. Nauckius Hall. allg. Lz. 1848, 520 *τίς μισθός; εἰπέ* (*εἶπον* Philol. VI 414)· *τίς; πόση νὴ Δία φορά;* conl. *περὶ ὕψους* 33, 5 *ἢ νὴ Δία Σοφοκλῆς*; *κόμιστρα* Eurip. Herc. fur. 1387. non credo pro *πρὸς Διός* in interrogatione *νὴ Δία* posuisse Eupolin. *εἶπον* imperative Menand. Etym. m. 302, 26.

272

τὴν δ' αὐτὸς ἐκκανάξει

Pollux 10, 85 *τὸ ἐκκενῶσαι ἢ ἐκπιεῖν κανάξαι λέγουσι καὶ ἐκκανάξαι, ὡς καὶ Εὔπολις ἐν τοῖς Φίλοις κτλ. τὴν δ'* vel *τήνδ'*, i. e. *κύλικα*. exitus tetrametri iambici.

273

Schol. Platon. 332 Bekk. *Εὔπολις δ' ἐν Φίλοις καὶ ἐπὶ τῇ γυναικὶ Ῥοδίᾳ κωμῳδεῖ αὐτόν* (*Λύκωνα*). cf. fr. 45. 46.

274

Schol. Platon. 391 Bekk. *Κρατῖνος δὲ Ὀμφάλη τύραννον αὐτὴν* (*Ἀσπασίαν*) *καλεῖ, χείρων Εὔπολις Φίλοις*. Meinekius *Κρατῖνος δὲ Ὀμφάλην τύραννον αὐτὴν καλεῖ Χείρωσιν, Ἥραν Εὔπολις Φίλοις*. cf. 249. Cratin. 241.

275

ἀνακογχυλίσασθαι

οὐχὶ ἀναγαργαρίσασθαι. Εὔπολις ἐν Φίλοις. Herodianus Philet. 453 Piers. Harpocrat. cod. Marc. 444 p. 35 Bekk. *ἀνακογχυλίσασθαι ἐπὶ τοῦ ἐν τῷ βίῳ* (vulgari consuetudine) *λεγομένου ἀναγαργαρίσασθαι. Εὔπολις ἐν Φίλοις.* fortasse huc pertinent quae Gaisfordus in Etym. m. p. 266 (suae ed.) ex cod. Va transscripsit *ἀνακογχυλίσαι ὕδωρ καὶ ὕδατι, οἷον· ὕδωρ μοί τις δότω | ἀνακογχυλίσαι* (*ἀνακογχυλίσασθαι*?). *καὶ πάλιν· ἀνακογχύλισον ὕδατι.* quorum posterius ex Platonis Symposio 185d desumptum videtur, ubi editiones *ὕδατι ἀνακογχυλίασον.*

Ad Amicos Meinekius rettulit fr. 407, Wilamowitzius Obs. crit. 49. 50 fr. 321. 328. 344, ubi cf. quae adnotavimus.

ΧΡΥΣΟΥΝ ΓΕΝΟΣ

Argumentum fabulae unus omnium recte perspexisse videtur Welckerus, quem Wilamowitzius Obs. crit. 54 adn. 44 narrat ad Runkelii ed. p. 160 sua manu adnotasse 'de statu pessimo cum irrisione tamquam aureo'. aureae certe aetatis felicitatem a poeta non fuisse descriptam recte Wilamowitzius ex eo conlegit quod ab Athenaeo non commemoratur 6, 267e—270a. acta est ante Cleonis mortem, post Sphacteriam expugnatam (Mein. I 145sq. Bergk. R. c. Att. 361. Fritzsch. Q. Arist. 145 adn. 1), non ut voluit Muellerus Strubingensis p. 164 Dionysiis Ol. 88, 3, sed fortasse Dionysiis Ol. 89, 2. Wilamow. Obs. crit. 52sq.

276

δωδέκατος ὁ τυφλός, τρίτος ὁ τὴν κάλην ἔχων,
ὁ στιγματίας τέταρτός ἐστιν ἐπὶ δέκα,
πέμπτος δ' ὁ πυρρός, ἕκτος ὁ διεστραμμένος·
χοὖτοι μὲν εἰσ' ἑκκαίδεκ' εἰς Ἀρχέστρατον.
ἐς τὸν δὲ φαλακρὸν ἑπτακαίδεκ'. Β. ἴσχε δή.
Α. ὄγδοος ὁ τὸ τριβώνιον ἔχων.

Porphyrius Schol. Ven. Hom. Il. 10, 252 *Εὔπολίς τε Χρυσῷ γένει· δωδέκατος κτλ.* 1. *δωδέκατος* Runkelius] *δέκατος. κάλην* multo ante Cobetum V. l.[2] 399 O. Schneiderus apud Meinek. V p. LXXXIV] *καλήν.* 3. *πυρρός* Runkel.] *πύργος. πηρός* Cobet. 4. *χοὖτοι μὲν εἰσ' — εἰς* Runkel.] *καὶ οὗτοι μὲν εἰς — ἐς.* 5. *ἐς τὸν δὲ* Runkel.] *ἐς δὲ τὸν.* personarum notationem adiecit Meinekius. quorum hominum index proponatur ignoramus. de comicis poetis certe non videtur cogitandum esse. neque de *Archestrato* constat, qui complures Athenis fuerunt. eis quos Meinekius enumeravit in ed. mai., addi possunt is Archestratus, qui praetor fuit ad

Arginusas (Xen. Hell. 1, 5, 16), deinde ὁ Φρεάρριος qui Mytilenae mortuus est (Lys. 21, 8) et ὁ ἀπὸ τῆς τραπέζης [Isocr.] 17, 43. nam Syracusanus quidem vel Gelensis ὀψοφάγος, quem iam commemorat Dionysius comicus (2, 24), hic significari non potest.

277

λοιπὸς γὰρ οὐδείς· ἡ τροφαλὶς ἐκεινηὶ
ἐφ' ὕδωρ βαδίζει σκῖρον ἠμφιεσμένη.

Schol. Aristoph. Vesp. 925 σκῖρον τὸ ῥυπῶδες τὸ ἐπὶ τῶν τυρῶν, ὡς Εὔπολις Χρυσῷ γένει κτλ. Photius τροφαλίς· τυρός. οὕτως Εὔπολις. Etymol. m. 718, 4 σκίρον ... Εὔπολις ἐπὶ τοῦ ἐν τῷ τυρῷ ῥύπου. ἡ τρ. ἐκεινηί Meinek.] τρ. ἐκείνη. σκῖρον V] σκίρρον. Dindorfius ad οὐδείς supplens τυρός, πλὴν τρ. ἐκεινηί. Fritzschius Q. Arist. 146 adn. λοιπὸς γὰρ οὐδείς; τροφαλίς, ἔξει· νὴ Δία κτλ. quae quamquam Vesp. 838 sq. inlustrari dicit quovis oraculo obscuriora sunt. caseus recens ipse ad aquam ut abluatur accedere dicitur.

278

ἔπειθ' ὁ κουρεὺς τὰς μαχαιρίδας λαβὼν
ὑπὸ τῆς ὑπήνης κατακερεῖ τὴν εἰσφοράν.

Pollux 10, 140 τὰ δὲ κουρέως σκεύη κτένες, κουρίδες μάχαιραι, μαχαιρίδες· ... ἐν δὲ Χρυσῷ γένει Εὐπόλιδος· ἔπειθ' κτλ. Photius μαχαιρίδες· αἱ κουρικαὶ μάχαιραι. οὕτως Εὔπολις. 'hoc dicere videtur: virum civilem, qui tonsoriam artem factitabat, publicos civitatis reditus detonsurum, i. e. in suos usus conversurum; tonsorem dicit fortasse Dionysium (Cratin. 208)'. Meinek. Cleonem significari putat Muellerus Strubingensis 165: at ubi Cleon tonsor dicatur, quamquam id in Equitibus 908 fieri Muellerus adfirmat, ego quidem nescio, neque ita dici potuisse manifestum est. τὴν εἰσφοράν infert παρ' ὑπόνοιαν.

279

ὁρῶ. Β. θεῶ νῦν τήνδε Μαριανδυνίαν.

Stephanus Byz. Μαριανδυνία· χώρα. Εὔπολις Χρυσῷ γένει κτλ. Herodian. I 297, 20 Lentz. Β. θεῶ — τήνδε Fritzschius Q. Arist. 146 adn.] θέω — τήν. Aristoph. Eq. 163—175 idem attulit Fritzschius.

280

ὦλκαῖε Σικελιῶτα Πελοποννήσιε

Schol. Aristoph. Thesm. 162 Ἀλκαίου τοῦ κιθαρῳδοῦ, οὗ καὶ Εὔπολις ἐν Χρυσῷ γένει μέμνηται κτλ. *Alcaeum citharoedum* dicit,

cuius 'patria fuisse videtur Sicilia; Peloponnesium vocat fortasse propter diuturnam in Peloponneso commorationem. cf. Bergk. Comment. crit. II p. VIII'. Meinek., cui ad eundem Alcaeum pertinere videtur fr. 293.

281

οὐκ ἀλλ' ἔθυον δέλφακ' ἔνδον θἠστίᾳ
καὶ μάλα καλήν.

Athenaeus 14, 657 a δέλφακα . . . θηλυκῶς . . . Εὔπολις Χρυσῷ γένει· οὐκ κτλ. cf. 9, 375 a. 1. cod. A οὐκ ἀλλεύθιον δέλφακα ωδονθ' ηστια. δέλφακ' ἔνδον K., cetera correxit Meinekius, cuius neque δέλφακα νωδὸν (νωδοί enim sunt senes) neque δέλφακ' ᾠδὸν (*verniliter grunnientem*) cuiquam probabuntur. infelicius etiam Herwerd. Stud. crit. 79 δέλφακ' ἄτοκον. Vestae semper *intus* in aedibus sacra fiebant. Zenob. 4, 44. Diogenian. 4, 68. Hesych. Ἑστίᾳ θύομεν. ἦσάν τινες θυσίαι, ἀφ' ὧν οὐχ οἷόν τε ἦν μεταδοῦναι ἢ ἐξενεγκεῖν. cf. etiam Phot. 21, 24.

282

ἀτεχνῶς μὲν οὖν τὸ λεγόμενον σκύτη βλέπει.

Schol. Aristoph. Vesp. 643 μέμνηται τῆς παροιμίας Εὔπολις ἐν Χρυσῷ γένει· φησὶ γὰρ κτλ. cf. Zenob. 6, 2. Athen. 13, 568 e. Aristoph. Pac. 669. attulit Meinekius, qui multo ante Muellerum Strub. 165 ad *Cleonem* haec pertinere monuit.

283

ἀλλ' ὦ φίλε Ζεῦ κατάχυτλον τὴν ῥῖν' ἔχεις.

Pollux 10, 63 Εὐπόλιδος ἐν Χρυσῷ γένει κτλ. ὦ φίλε Ζεῦ non esse adloquentis, sed mirantis recte monuit Fritzschius De com. gr. fr. 6, cui tamen in reliquis non adsentior. '*o bone Iuppiter, nasus tuus quasi quaedam trulla est.*' quem adloquatur nescimus. 'trullae adsimulat nasum, quia pituita laborabat cuicumque haec dicuntur.' Meinek.

284

τί γάρ ἐστ' ἐκεῖνος; Β. ἀποπάτημ' ἀλώπεκος.

Etymol. m. 132, 12. Bekker. Anecd. 433, 10. Suidas ἀποπάτημα· αὐτὸ τὸ σκύβαλον. Εὔπολις Χρυσῷ γένει κτλ. contra Athenaeus 14, 658 d τὸ λείψανον τῶν τραγημάτων καὶ τρωξίμων ἀποτράγημα εἴρηκεν Εὔπολις. σκώπτων γὰρ Διδυμίαν τινὰ ἀποτράγημα αὐτὸν εἴρηκεν ἀλώπεκος, ἤτοι ὡς μικρὸν τὸ σῶμα ἢ ὡς κακοήθη καὶ πανοῦργον, ὥς φησιν ὁ Ἀσκαλωνίτης Δωρόθεος. ἐκεῖνος Suid.] ἐκεῖνο. Χρυσογένει cod. Bekk. Χρυσογενείᾳ Etym. m.

Meinekius in Athenaeo ἀποπάτημα, quamquam antea ἀποτράγημα pro varietate lectionis habuerat. Bernhardyus alium Eupolidis locum ab Athenaeo respici putat, quod non est veri simile. de Didymia vel Didymachia, quem Suidas etiam in v. Θαρρελείδης commemorat, nihil compertum habemus.

285

καὶ σκεῦος οὐδὲν εὗρον ἐν τῳκήματι.

Schol. Hephaest. 2, 2 (p. 19 Gaisf. ed. sec.) ἔκθλιψιν κρᾶσιν καὶ συναίρεσιν, ὡς παρ' Εὐπόλιδι ἐν Χρυσῷ γένει· καὶ σκεῦος κτλ. 'sic in plerisque ES.' Gaisf.

286

ἀριθμεῖν θεατὰς ψαμμακοσίους

Schol. Aristoph. Acharn. 3 et Suidas ψαμμακοσιογάργαρα. τὸ ψαμμακόσια καθ' ἑαυτὸ ἐπὶ πλήθους ἐτίθετο. παρὰ μὲν Εὐπόλιδι ἐν Χρυσῷ γένει κτλ. ψαμμακοσίους Suid. A] ψαμμοκοσίους. in exitu νὴ Δία supplet Hanovius Exerc. crit. 43. quidni τὸν ἀριθμόν? 'quantus labor est spectatores numerare innumeros numero.'

287

εἰ μή τις αὐτὴν κατακλιεῖ

Bekker. Anecd. 1290 med. Cramer. Anecd. Ox. IIII 420, 29. Herodian. II 809, 10 Lentz. σημειοῦται τὸ ἐκχεῶ δευτέρου μέλλοντος, οἷον καὶ τὸ κατακλιεῖς παρ' Εὐπόλιδι ἐν Χρυσῷ γένει, οἷον κτλ. Cramer. An. Ox. IIII 195, 28 εἰ μή τις αὐτὴν κατακλιεῖ, παρ' Εὐπόλιδι ἀντὶ τοῦ ἀσφαλιεῖ. barbarum loqui arbitratur Meinekius. dubium utrum κατακλινεῖ an κατακλήσει dicere voluerit.

288

ἔπειτ' εἴσειμ', ἐνθάδε μείνας
εἰς ὤμιλλαν, κἂν μὴ μετίῃ.

Schol. Platon. 320 Bekk. ἡ δὲ ὤμιλλά ἐστιν· ὅταν περιγράψαντες κύκλον ἐπιρρίπτωσιν ἀστραγάλους ἢ ἄλλο τι, ὡς τῇ μὲν ἐντὸς βολῇ νικώντων τῇ δὲ ἐκτὸς ἡττωμένων. Εὔπολις Χρυσῷ γένει μεταφέρων ἐπὶ τὴν ἐκ Κυκλώπων (Meinek. τὴν ἐν κύκλῳ) κατάκλισιν τοὔνομα οὕτως φησίν· ἔπειτ' κτλ. Suidas ὤμιλλα· Εὔπολις Χρυσῷ γένει· ἐπεισείμεθα δὲ μείνας εἰς ὤμιλλαν. cf. fr. 250. Meinekius aut κἄπειτ' scribendum censet aut εἶτ' ut sint tetrametrorum reliquiae. prius verum videtur. '*postquam hic permansi tamquam* εἰς ὤμιλλαν *luderem, iam intrabo, etiamsi me non arcessat.*'

289

αὐτόματοι δ' ἀγαθοὶ δειλῶν ἐπὶ δαῖτας ἴασιν.

Zenobius 2, 19 *αὐτόματοι δ' ἀγαθοὶ ἀγαθῶν ἐπὶ δαῖτας ἵενται· οὕτως Ἡσίοδος ἐχρήσατο τῇ παροιμίᾳ . . . Εὔπολις δὲ ἐν Χρυσῷ γένει ἑτέρως φησὶν ἔχειν τὴν παροιμίαν· αὐτόματοι κτλ.* cf. Schol. Platonis 373 Bekk. *αὐτόματοι δ' ἀγαθοὶ δειλῶν ἐπὶ δαῖτας ἴασι. ταύτην δὲ λέγουσιν εἰρῆσθαι ἐπὶ Ἡρακλεῖ, ὃς ὅτε εἱστιῶντο τῷ Κήυκι ξένοι ἐπέστη.* Cratin. 169. Aristoph. fr. 272. Plat. Symp. 174 b.

290. 291. 292

ὦ καλλίστη πόλι πασῶν, ὅσας Κλέων ἐφορᾷ,
ὡς εὐδαίμων πρότερόν τ' ἦσθα νῦν τε μᾶλλον ἔσει
* * * *
ἔδει πρῶτον μὲν ὑπάρχειν πάντων ἰσηγορίαν
* * * *
πῶς οὖν οὐκ ἄν τις ὁμιλῶν χαίροι τοιᾷδε πόλει,
ἵν' ἔξεστιν πάνυ λεπτῷ κακῷ τε τὴν ἰδέαν —

Priscianus De metris Terent. 26 *Hephaestion quoque metricus ostendit comicum* e p i o n i c u m *spondeos paribus locis habens iambicarum συζυγιῶν id est coniugationum, ut est apud Eupolin in fabula quae dicitur Χρυσοῦν γένος· ὦ καλλίστη — ἔσει. idem: ἔδει κτλ.* v. 1. 2 Hephaestion. 16, 5 *μάλιστα δ' ἐν αὐτῷ (τῷ καλουμένῳ ἐπιωνικῷ) ἀταξία πολλή, ἡ τοὺς σπονδείους ἐπὶ ἀρτίους χώρας ἔχουσα τῶν ἰαμβικῶν συζυγιῶν, οἷον παρ' Εὐπόλιδι ἐν Χρυσῷ γένει· ὦ — ἔσει.* v. 1 sine auctoris nomine Schol. Pind. Ol. 13 p. 266 Boeckh. — universam lectionis varietatem, quae ad Eupolidis verba constituenda non multum facit, excerpsit Keilius in Prisciani ed. 3. *ἔδει*] *οὐ δεῖ* Fritzschius De v. Eupol. 6, *εἰ δεῖ* Bergk. R. c. Att. 361. Aristoph. Av. 157 *οὐ πρῶτα μὲν δεῖ ζῆν ἄνευ βαλλαντίου.* 4. *ὁμιλῶν χαίροι* Ios. Scaliger] ΟΜΙΛΟΝ ΧΑΙΡΙ VA. de metro cf. praeterea Fritzsch. sed quod idem inter duas personas haec distribuit non videtur probari posse, siquidem id genus metri dialogo parum aptum est. a choro recitata arbitror, parabasin vel epirrhema quoddam. Cleonem cum inrisione Soli comparavit *ὃς πάντ' ἐφορᾷ καὶ πάντ' ἐπακούει.* apte etiam Porsonus contulit fragmentum adespoton *τὴν λαμπροτάτην πόλεων πασῶν, ὁπόσας ὁ Ζεὺς ἀναφαίνει.* v. 3 coniungenda sunt *πρῶτον πάντων.* alia addidit sine dubio chorus ad Athenarum praestantiam demonstrandam. extrema sententia abrupta est. hoc dixerat poeta: quidni igitur quivis libenter in tali urbe degat, ubi etiam exiguo et minus pulchro homini liceat ad rempublicam administrandam accedere? quod sine dubio exemplis quibusdam ludicris inlustraverat.

293

ὦ κατάλαβρ', ὦ κιθαραοιδότατε

Schol. Aristoph. Vesp. 1278 *τῇ λέξει (κιθαραοιδότατος) κέχρηται καὶ Εὔπολις ἐν Χρυσῷ γένει κτλ. κατάλαβρ' ὦ* Meinek.] *καλαβρὲ* V Ald. *καταλαβρὲ* Portus. *κιθαραοιδότατε*] *κιθαραοιδοταν* V. *κιθαραοιδότα* G. numeros paeonicos esse monuit Meinekius. cf. fr. 280.

294

Schol. Aristoph. Av. 42 (*οὐκ*) *εἴρηται μὲν ὁ βάδος· ὅμως γε μὴν οἱ κωμικοὶ παίζειν εἰώθασι τὰ τοιαῦτα. ὡς Εὔπολις Χρυσῷ γένει τισοφῶν ὦ ῥαψῳδέ.* Ven. *τί σοφῶνος ὦ ῥ.* Lobeck. Progr. acad. 1844, 4 *τίς ὁ σόβος ὦ ῥαψῳδέ;* et Rhem. 287 '*σόβος* pro *σόβησις*'. *τίς ὁ φῶνος* Nauck. Philol. II 151. Aristoph. Byz. 207. conl. Theognost. Cram. II 66, 17 *φῶνος ὁ μεγαλόφωνος.* idem teste Toeppelio Progr. Neobr. 1851 p. 7 extr. Fritzschius invenerat, vocem barbaram esse ratus pro *τίς ἡ φωνή;* conl. Arist. Thesm. 1086 *πῶτε τὸ πωνή;* nam eius quidem emendationis quam proposuit Q. Arist. 146 hodie eum paenitere arbitror.

295

τοῦ Διὸς τὸ σάνδαλον

ἐπὶ τῶν ὡς μέγα δή τι. Εὔπολις Χρυσῷ γένει. Photius et Suidas. Pollux 7, 86 *τὸ σάνδαλον Εὔπολις ἐν Χρυσῷ γένει.*

296

Πανταλῆς σκαιός

Schol. Aristoph. Ran. 1036 *διαβάλλει τὸν Πανταλέα ὡς ἀμαθῆ ἐν τῷ ὁπλίζεσθαι. μέμνηται δὲ τούτου καὶ Εὔπολις ἐν Χρυσῷ γένει κτλ.* cod. Θ *χρυσογένει Πανταλέης σκοπῶν.* fortasse dixerat *Πανταλῆς ὁ σκαιός.* cur non *Πανταλέης* scripserim intellegitur ex eis quae adnotavi ad Aristoph. Eq. 283.

297

Λάμπων οὐξηγητής

Εὔπολις Χρυσῷ γένει. μάντις γὰρ ἦν καὶ χρησμοὺς ἐξηγεῖτο. Bekker. Anecd. 96, 18. desunt quaedam et post *Χρυσῷ γένει* et post *μάντις γάρ. οὐξηγητής* Ruhnken. Tim. 110b] *οὐζητητής.* verba *μάντις γὰρ ἦν κτλ.* grammatici esse, non Eupolidis monuit Reisigius Coniect. 175. Schol. Aristoph. Nub. 332 *Λάμπων ὁ μάντις, ὃν ἐξηγητὴν ἐκάλουν.* cf. Aristoph. Av. 521. Nub. 332 cum interpr.

298

κατὰ χειρὸς ὕδωρ

ὡς Εὔπολις ἐν Χρυσῷ γένει. Athen. 9, 408e. cf. Telecl. 1.

299

ἀχυρός

Schol. Aristoph. Vesp. 1310 *παρὰ τὴν παροιμίαν 'ὄνος εἰς ἀχυρῶνα ἀπέδρα'. ὁ δὲ ἀχυρὸς παρ' Εὐπόλιδι ἐν Χρυσῷ γένει, ὅπου καὶ τὸ Πλάτωνος παράκειται ἐξ Ἀδώνιδος. ἄχυρος* V Ald. *ἀχυρμός* Meinekius.

300

νεοκάτοικος

κατ' Εὔπολιν λέγοντα ἐν Χρυσῷ γένει. Pollux 9, 26.

301

πισοῦ

τοῦ ὀσπρίου μνημονεύει καὶ Εὔπολις ἐν Χρυσῷ γένει. Athenaeus 9, 406 c.

302

σιπύα

Harpocratio *σιτηρὸν ἀγγεῖόν ἐστιν ἡ σιπύα, ἔστι δὲ πολλάκις παρὰ τοῖς ἀρχαίοις κωμικοῖς. Εὔπολις Χρυσῷ γένει.* Photius *σιπύα· σιτηρὸν ἀγγεῖον. Λυσίας τε καὶ Εὔπολις καὶ Ἀριστοφάνης.* scribendum *σιπύη*. cf. Aristoph. Eq. 1296. Plut. 806. fr. 541. Pherecr. 142. Lobeck. Phrynich. 301.

Praeterea ad Auream aetatem Meinekius pertinere censet fr. 308. 331 (?).

ΑΔΗΛΩΝ ΔΡΑΜΑΤΩΝ

303

ἄγε δὴ πότερα βούλεσθε τὴν νῦν διάθεσιν
ᾠδῆς ἀκούειν, ἢ τὸν ἀρχαῖον τρόπον;
Β. ἀμφότερ' ἐρεῖς, ἐγὼ δ' ἀκούσας τοῖν τρόποιν
ὃν ἂν δοκῇ μοι βαστάσας αἱρήσομαι.

Suidas *βαστάσας· ἀντὶ δοῦ δοκιμάσας. Εὔπολις κτλ. πᾶν τὸ συμβησόμενον ἐπὶ λόγον ἄγων καὶ βαστάζων.* male haec extrema ante Bernhardyum cum Eupolidis verbis coniungebantur. 1. *τὴν νῦν* Toupius] *τήν. τήνδε* Runkelius. an *καινήν*? 3. *τοῖν τρόποιν* Gaisford.] *τὸν τρόπον.* Bergkius R. c. Att. 334 *τῶν τρόπων*, ad Capras haec referens propter rei musicae commemorationem. ceterum cf. Aristoph. Nub. 935 sq. sic apud Eupolin adpellari puto Strepsiadem aliquem atque Phidippidem, respondere filium solum.

304

περιῆλθον εἰς τὰ σκόροδα καὶ τὰ κρόμμυα
καὶ τὸν λιβανωτόν, κεὐθὺ τῶν ἀρωμάτων,
καὶ περὶ τὰ γέλγη χοὖ τὰ βυβλί' ὤνια.

Pollux 9, 47 ἐν δὲ τῶν κοινῶν βιβλιοθῆκαι, ἢ ὡς Εὔπολίς φησιν οὗ τὰ βιβλία ὤνια. καὶ αὐτὸ ἐφ' αὐτοῦ (βιβλία). οὕτω γὰρ τὸν τόπον, οὗ τὰ βιβλία, οἱ Ἀττικοὶ ὠνόμαζον· ὥσπερ καὶ τοὺς ἄλλους τόπους ἀπὸ τῶν ἐν αὐτοῖς πιπρασκομένων, ὡς εἰ φαῖεν 'ἀπῆλθον ἐς τοὔψον, καὶ ἐς τὸν οἶνον, καὶ ἐς τοὔλαιον, καὶ ἐς τὰς χύτρας, καὶ κατὰ τὸν Εὔπολιν περιῆλθον — γέλγη'. Photius et Suidas τοὔψον· ὥσπερ καὶ τὸ παρῆλθον — λιβανωτόν. Schol. Aristoph. Ran. 1068 Εὔπολις περιῆλθον εἰς τὰ σκόροδα καὶ τὰ κρόμμυα. Ammonius p. 62 εὐθὺ τῶν ἀρωμάτων. Schol. Arist. Pac. 1158 et Bekker. Anecd. 450, 23 λέγουσι δ' ἔνιοι καὶ τὰ ἄλφιτα ἀρώματα, ὡς παρ' Εὐπόλιδι 'καὶ τὸν λ. — ἀρωμάτων', ἀντὶ τοῦ τῶν ἀλφίτων. Pollux 3, 127 τὰ πιπρασκόμενα, φορτία, ῥῶπος, ἀγοράσματα, ὤνια, γέλγη, εἰ μὴ κωμικώτερον. Hesych. ἀρώματα· . . . καὶ ἀπὸ τοῦ ἀροῦν τὰ ἄλφιτα οὕτω λέγεται. idem γέλγη· ὁ ῥῶπος . . . καὶ κτένες. γελγοπωλεῖν· ῥωποπωλεῖν. παντοπωλεῖν. cf. Hermipp. 13. aliter Apollon. lex. 41, 29 et Suidas ἀρώματα (male ἀρόμ.)· οὐ τὰ θυμιάματα λέγουσιν οἱ Ἀττικοί, ἀλλὰ τὰ ἐσπαρμένα (*sata*). cf. Lobeck. Phrynich 227. apud Eupolin τὰ θυμιάματα videntur intellegenda esse. verba οὗ (χοὗ) τὰ β. ὤνια in fine addidit Bergkius R. c. Att. 355. de dicendi genere cf. quae adnotavimus ad Aristoph. Eq. 857. ad Maricantem propter fr. 187 rettulit Bergkius.

305

τίς οὐξεγείρας μ' ἐστίν; οἰμώξει μακρά,
ὁτιή μ' ἀνέστησ' ὠμόυπνον.

Zonaras 605 ἐγερθῆναι ἐξ ὕπνου, ἀναστῆναι τῷ σώματι. Εὔπολις· τίς κτλ. eadem cod. Naniani apud Mingarellum p. 492. cf. Tittmann. Praef. Zonarae XXXVII. οἰμώξει quamquam est pers. 2, Meinekii ἀνίστης non opus est. potest qui loquitur uxori vel servo minari, quod alter quidam nullo prohibente se ex somno excitaverit. vocis ὠμόυπνον paenultima apud comicos necessario corripitur: quapropter neque ὄντα (Mein.) neque ὄντ' ἔτι (Herwerd. Nov. add. crit. 8) suppleri potest. ὠμόυπνος est 'cuius somnus nondum ad maturitatem pervenit' Meinek. conl. ὠμογέρων.

306

εἶδες χορηγὸν πώποτε ῥυπαρώτερον
τοῦδε;

Pollux 3, 115 Πλάτων δὲ ἐν Παρμενίδῃ καὶ ῥυπαρὸν εἴρηκεν. Εὔπολις δὲ κτλ. θᾶττον ἂν τοῦ αἵματος ἢ χρημάτων μεταδοὺς τινι. verba extrema non Eupolidis esse sed Pollucis ad imitationem Demosthenis 19, 254 transscripta Meinekius monuit. littera ῥ (ῥυπαρ.) vocalis ε (πώποτε) producitur.

307

πόλιν γε θεοφιλεστάτην
οἰκοῦσιν ἀφθονεστάτην τε χρήμασιν.

Eustathius 1441, 16 *Δημόκριτος δὲ ἐπιτηδειέστατον φησί, καὶ Δεινόλοχος γενναιέστατον, Ἀντίμαχος δὲ ὅτι ἀφνειέστατος ἔσκεν. Εὔπολις δέ· πόλιν κτλ. γε* add. Meinek. urbem Athenas dicit. cf. quos Meinekius adfert V 39 Demosth. Epist. 4, 19 ed. Tur. *εὐτυχεστάτην πασῶν πόλεων τὴν ὑμετέραν νομίζω καὶ θεοφιλεστάτην.* Aesch. Eum. 831 *χώρας μετασχεῖν τῆσδε θεοφιλεστάτης*, et inprimis Soph. OC. 258 sq. concidit igitur Raspii coniectura (88) haec ad *Πόλεις* referentis.

308

πρῶτος γὰρ ἡμᾶς, ὦ Κλέων,
χαίρειν προσεῖπας πολλὰ λυπῶν τὴν πόλιν.

Moeris 213 *χαίρειν ἐν ἐπιστολῇ πρῶτος λέγεται γράψαι Κλέων Ἀθηναίοις μετὰ τὸ λαβεῖν τὴν Πύλον. ἔνθεν καὶ τὸν κωμικὸν ἐπισκώπτοντα εἰπεῖν· πρῶτος κτλ.* Suidas *χαίρειν· πρῶτον δὲ Κλέωνά φησιν Εὔβουλος ὁ κωμικὸς οὕτως ἐπιστεῖλαι τοῖς Ἀθηναίοις ἀπὸ Σφακτηρίας.* ubi scribendum esse *Εὔπολις* Fritzschius monuit apud Bergk. R. c. Att. 362. salutatione *χαῖρε, χαίρειν, χαίρειν λέγω* *privatim* iam multo ante bellum Peloponnesiacum Attici utebantur, *publice* primus Cleon. Bergk. 362. Lucian. Pro lapsu in salut. 3. ad *Χρυσοῦν γένος* referunt Bergkius et Meinekius.

309

συνέτυχεν ἐξιόντι μοι
ἄνθρωπος ἀποφρὰς καὶ βλέπων ἀπιστίαν.

Bekker. Anecd. 5, 8 *ἄνθρωπος ἀποφράς· ἀποφράδες ἡμέραι, καθ' ἃς ἀπηγόρευτό τι πράττειν. σημαίνει οὖν τὸν οἷον ἀπαίσιον καὶ ἔξεδρον καὶ ἐπάρατον ἄνθρωπον. συνέτυχεν κτλ. ἀπιστίαν βλέπει· Εὔπολις. σημαίνει τὸν ἀπιστότατον.* Etymol. m. 131, 19 *καὶ τοὺς πονηροὺς δὲ ἀποφράδας ἐπιθετικῶς ἐκάλεσάν. οἷον ἄνθρωπος κτλ.* Lucian. Pseudol. 32 *ἄμεινον ἦν σοι . . . μὴ καταγελᾶν τῆς ἀποφράδος, ἥ σοι ἀποφράδα τὸν βίον ὅλον ἐργάσεται.*

310

καὶ λέγουσί γε
τὰ μειράκια προϊστάμενα τοῖς ἀνδράσιν.

Herodian. in Villois. Anecd. II 88 (*τοῖς οὐδετέροις*) *διαφόρους πληθυντικὰς συντάξεις ἐπάγουσιν οἱ Ἀττικοί, ὡς Εὔπολις καὶ λ. κτλ. λέγουσι*] *λέγονται* cod. Par. ap. Walz. Rhet. VIII 583. *προϊστάμενα*

Hesychius *σεελλίσαι Φρύνιχος ἐν Κρόνῳ κτλ. Αἰσχίνης τις ὑπῆρχε Σέλλου καλούμενος, ἀλαζὼν καὶ ἐν τῷ διαλέγεσθαι καὶ ἐν τῷ προσποιεῖσθαι πλουτεῖν, πενόμενος δὲ καθ' ὑπερβολήν, ὡς τοὺς παραπλησίους τούτῳ* (Maussacus *οὕτω*) *καλεῖσθαι.* Photius *σεσέλλισαι* (ita Porson., cod. *σεσάλλισαι*)· *μάτην ἐπῆρσαι· ἀπ' Αἰσχίνου*

τοῦ Σέλλου, ὃς ἦν κομπαστὴς καὶ ἀλαζὼν ἔν τε τῷ διαλέγεσθαι καὶ ἐν τῷ προσποιεῖσθαι πλουτεῖν. Hesych. *σεσελίσθαι· ἀλαζονεύεσθαι καὶ σκώπτειν. ἀπὸ Αἰσχίνου τοῦ Σέλλου.* pro *κεκομμένα πολλάκις* G. Herm. Aeschyl. II 91 *κωμικοὶ πολλάκις*, Meinekius *κεκόμπακας*, ut sit Hesychii interpretamentum vocis *σεσέλλισαι*. Bergkius Archiloch. 102 *κατ' Αἰσχίνην κεκομμέν' ἤδη πολλάκις*, quae quid sibi velint nescio. pro *Διονύσου* Meinekius *Διονῦ, σοῦ*, 'sive ipse Dionysus his verbis compellatur sive homo mollis et effeminatus'. Etym. m. 277, 3 *Διονῦς· ὁ γυναικίας καὶ πάνθηλυς.* Hesych. *Διονῦς* (*διονῦς* cod.)*· ὁ γυναικίας καὶ παράθηλυς.* Herodian. II 707, 4 Lentz. *ὁ Διονῦς, τοῦ Διονῦ.* 936, 28 (et 859, 29. I 236, 18) *ἔστι δὲ καὶ τὸ Διονῦς παρὰ τοῖς κωμικοῖς ἐπὶ τοῦ ἐκλύτου τασσόμενον.* ceterum *Sellus* non est nomen proprium: nam iam Archilochus (102) Batusiaden hariolum Sellei filium dixerat (Mein. ed. mai.). Hesych. *Σελληίδεω· Σελλέως υἱός, ὁ μάντις Βατουσιάδης τὸ ὄνομα.* scribendum videtur *ἄγαμαι Διονῦ σου τὸ στόμ'· ὡς σεσέλλισαι | κατ' Αἰσχίνην· κεκόμπακας γὰρ πολλάκις.*

11

Erotianus 129, 13 Klein. *ὑποτεῖναι· ὑποθεῖναι, καὶ ὑποτεταμένον τὸ ὑποκείμενον ξύλον, τὸ οἷον βάθρον, ὡς καὶ Φρύνιχος ἐν Κρόνῳ φησί· κείνη μεμνήσθω με ξύλον ὑποτεταγός. μεμνήσθω με*] *μεμνήσθω* (suprascr. *μεν*) A. *κείνη* recte positum esse non potest, nisi ut fecit Meinekius V 40 Ionem hominem loqui statuas, idem *κείνη μὲν ἡγείσθω ξύλον μ' ὑποτετακός*, conl. Menand. 34 *ἡγεῖταί μ' ὅλως | ἐπικόπανόν τι.* at adparet in Phrynichi verbis necessario fuisse *ὑποτεταμένον.* itaque *ἐπέχω.*

12

Athenaeus 9, 371 f *γηθύου μνημονεύει Φρύνιχος ἐν Κρόνῳ. ὅπερ ἐξηγούμενος δρᾶμα Δίδυμος ὅμοιά φησιν εἶναι τὰ γήθυα τοῖς λεγομένοις ἀμπελοπράσοις, τὰ δ' αὐτὰ καὶ γηθυλλίδας λέγεσθαι.*

13

ἀλεκτρυοπώλιον

Φρύνιχος ἐν Κρόνῳ εἴρηκεν. Pollux 7, 136. an *ἀλεκτρυονοπωλεῖον*? cf. quae apud Pollucem sequuntur.

ΚΩΜΑΣΤΑΙ

Comissatores cum etiam Amipsias composuerit eaque fabula Dionysiis Ol. 91, 2 cum Monotropo Phrynichi Avibusque Aristophanis certans primum praemium tulerit, Bergkius R. c. Att. 369.

70 et apud Fritzsch. Q. Ar. 322 unam esse coniecit Comissatores comoediam Phrynichi, sed quia lege interdictum erat ne quis duabus simul fabulis certamen iniret, Phrynichum Amipsiae amico committendam tradidisse. itaque in didascaliis Amipsiae nomine consignatam, fragmenta autem a grammaticis vero auctori tributa esse. argumentum ad Hermocopidarum causam spectasse probabiliter cum Droyseno Meinekius existimat, simul cum Bergkio R. c. Att. 370 fr. 58 ad Comissatores referens.

14

ἐγὼ δὲ νῷν δὴ τερετιῶ τι πτιστικόν.

Pollux 4, 55 *καί τι καὶ ἐπιλήνιον αὔλημα ἐπὶ βοτρύων θλιβομένων. καὶ ἕτερον πτιστικόν, ὡς Φρύνιχος ἐν Κωμασταῖς φησὶν ὁ κωμικός κτλ. νῷν*] *νῦν* Hemsterhus. Anecd. I 32. *τι* add. Salmasius. scribendum potius *τὸ*, siquidem plura *πτιστικά* fuisse non est probabile.

15

εἶτα κεραμεύων ἂν οἴκοι σωφρόνως Χαιρέστρατος
ἑκατὸν ἂν τῆς ἡμέρας ἔκλαιεν οἴνου κανθάρους.

Athenaeus 11, 474b *Φρύνιχος Κωμασταῖς.* 1. *ἂν οἴκοι* Letronnius De nominibus vas. graec. 36] *αν οἴκῳ* A. Grotefendus *ἐν οἴκῳ.* 2. *ἂν* addidit Erfurdtus. *ἔκλαιεν*] *ἔκαεν* Letronnius et Bergkius R. c. Att. 366. *ἔκλαεν* Dindorfius, quod quid sibi velit nescio: nam a *κλάω frango* inperfectum formatur *ἔκλων, ἔκλα. ἔπλαττεν* Cobet. N. l. 162 et Herwerd. Obs. crit. 28. falluntur omnes: pocula enim multi, *vini* pocula nemo umquam figulus fecit. scribendum est *ἔλαπτεν οἴνου κ.* nempe in arte figlina exercenda, quoniam igni corpus siccatur, *prudenter* (*σωφρόνως*, quod cum ironia additur) vino se ingurgitabat. fortasse eiusdem *Chaerestrati* filius Charmantides Boeckh. C. I. I 213 commemoratur (Bergk. R. c. Att. 82 adn.); ac Chaerestratum figulum Adrianum in vasculo apud Lanzium (Giorn. d. lett. ital. Pad. XX 181) comparere monet Meinekius.

16

Schol. Aristoph. Av. 1569 *μέμνηται αὐτοῦ* (*Λαισποδίου*) *Φρύνιχος ἐν Κωμασταῖς ὡς πολεμικοῦ γεγονότος.* cf. Eupol. 102.

17

Hesychius *Κολακυφωροκλείδης· Ἱεροκλείδης, ὃν ἐπὶ πονηρίᾳ κωμῳδοῦσιν Ἕρμιππος μὲν ἐν Κέρκωψι, Φρύνιχος δὲ ἐν Κωμασταῖς.* cf. Hermipp. 38.

Ad Comissatores fr. 64 refert Bergkius R. c. Att. 366. 7. cf. fr. 58.

ΜΟΝΟΤΡΟΠΟΣ

Argument. Aristoph. Av. *ἐδιδάχθη ἐπὶ Χαβρίου* (Ol. 91, 2) *διὰ Καλλιστράτου ἐν ἄστει, ὃς ἦν δεύτερος τοῖς Ὄρνισι. πρῶτος Ἀμειψίας Κωμασταῖς, τρίτος Φρύνιχος Μονοτρόπῳ.* Schol. Aristoph. Av. 997 *καθεῖται δὲ καὶ ὁ Μονότροπος ἐπὶ τοῦ αὐτοῦ Χαβρίου.* acta igitur est eis temporibus, de quibus dixi in praef. Avium, et quibus Syracosii lege comicorum libertas iterum quodammodo coërcita erat (fr. 26). itaque ob easdem causas Monotropus in solitudinem abiisse videtur, quibus commoti Pithetaerus et Euelpides Athenis discesserant: nam *μονότροπος* est quasi quidam Timon homo tristis et morosus, hominum consuetudinem fugiens. Plut. Mor. 479 c *μονότροπον ἄμικτον ἄφιλον.* Poll. 3, 47 *μονότροπον καὶ μισογύνην.* Meinek. I 156. Bergk. R. c. Att. 370. Cobet. Obs. crit. 41 sq. Enger Annal. Fleckeis. LXXVII 556. Fritzsch. Ind. Rost. 70/71 p. 4 sq. aliam habet significationem *monotropi* Plaut. Stich. 689 (5, 4, 7). *ἠθικὴν* fuisse fabulam, ut Ophelionis videtur fuisse Monotropus, negat Meinekius, adfirmat Welckerus Opusc. I 340.

18

ὄνομα δέ μοὔστι Μονότροπος . . . .
. . . . ζῶ δὲ Τίμωνος βίον,
ἄγαμον, ἄδουλον, ὀξύθυμον, ἀπρόσοδον,
ἀγέλαστον, ἀδιάλεκτον, ἰδιογνώμονα.

Bekker. Anecd. 344, 29 *ἄδουλος βίος ἐρεῖς, τουτέστιν ὁ μὴ δοῦλον ἔχων. ἐρεῖς δὲ καὶ ἀδιάλεκτος βίος, καὶ ἀγέλαστος βίος καὶ ἄγαμος βίος. Φρύνιχος ἐν Μονοτρόπῳ κτλ.* ut supra scripsimus, Bekkerus. *Τίμωνος* Ruhnk. Hymn. Cer. p. 35] *τίμωνον.* Meinekius in ed. min. *ὄνομα δέ μοι | Μονότροπός ἐστι, ζῶ δὲ κτλ.* sine lacuna. Fritzsch. Ind. Rost. 5 ⏑ ⏑́ ⏑ – *ὄνομα δέ μοὔστι Μονότροπος | ἄζυγος ἔρημος.* 3. cod. *ἄγαμον, ἄζυγον. ἄδουλον* pro *ἄζυγον* aliquanto ante Bergkium ap. Fritzsch. Q. Arist. 321 et Cobet. Mnem. nov. V 320 Hermannus Eurip. Androm. 580. *ἄγαμον* potius glossema videtur ad *ἄζυγον* adpositum. ceterum huc pertinent Bekker. Anecd. 25, 14 *ἄδουλος βίος· ὁ μὴ δουλεύοντα ἔχων.* 25, 10 *ἀπρόσοδος βίος· ᾧ οὐδεὶς πρόσεισιν, ἀλλ' ἔρημος,* Liban. IIII 148 (indicatus a Meinekio) *διαβάλλονταί μου τὴν ἡσυχίαν, ἀπρόσοδον καλοῦντες, ἀγέλαστον ὀνομάζοντες, ἰδιογνώμονά μου τὸν βίον προσαγορεύοντες,* et ut videtur Bekker. Anecd. 9, 14 *ἀνεπίτροπος· σημαίνει τὸν μηδένα ἐπίτροπον ἢ κηδεμόνα ἔχοντα.* itaque scripserim *ὄνομα δέ μοι | ἐστὶν Μονότροπος· ζῶ δὲ Τ. βίον, | ἄζυγον, ἄδουλον, ὀξ., ἀπρ., | ἀγ., ἀδ., ἰδ. | ἀνεπίτροπόν τε.* ex prologo fabulae haec excerpta esse Bergkius monuit 371.

19

τηλικουτοσὶ γέρων
ἄπαις ἀγύναικος.

Pollux 3, 48 Ἀριστοφάνης δὲ ἄγυνον τὸν ἀγύνην, Φρύνιχος δὲ τηλικουτοσὶ κτλ. τηλικουτοσὶ Bergk. R. c. Att. 372] τηλικοῦτος. Cobetus Obs. crit. 43 sine ulla causa ὤν pro γέρων. cf. Aristoph. Eq. 881. Nub. 819. Thesm. 174. Eccl. 1039. Pherecr. 146. Plat. Crit. 49a τηλικοίδε, γέροντες ἄνδρες. ad Monotropum probabiliter rettulit Bergkius, ad prologum fabulae Cobetus. ceterum cf. (indic. a Meinekio) Bekker. Anecd. 51, 20 μονογέρων· τὸν μονότροπον καὶ δύσκολον γέροντα σημαίνει, quae fortasse ad hoc fr. pertinent: τηλικοῦτος, μονογέρων, ἄπαις, ἀγύναικος. haud procul afuisse videntur a fr. 18.

20

μεγάλους πιθήκους οἶδ' ἑτέρους τινὰς λέγειν,
Λυκέαν, Τελέαν, Πείσανδρον, Ἐξηκεστίδην.
Β. ἀνωμάλους εἶπας πιθήκους . . .
ὁ μέν γε δειλός, ὁ δὲ κόλαξ, ὁ δὲ νόθος . . .

Schol. Aristoph. Av. 11 ὁ Ἐξηκεστίδης ὡς ξένος κωμῳδεῖται. καὶ Φρύνιχος Μονοτρόπῳ κτλ. 1. ἀνωμάλους Dind. Schol. Arist. praef. XIV] ἀνομάλους. οἶδ' Meinek.] οἱ δὲ. 3. νὴ Δία vel simile quid add. Meinek. 4. δειλός Meinek.] δεινός. Dobraeus ὁ δὲ κόλαξ, ὁ δὲ ξένος, | ὁ δὲ νόθος. Meinekius ὁ δὲ κόλαξ ἔσθ', ὁ δὲ νόθος, | ξένος δ' ὁ τέταρτος. audacius Bergkius R. c. Att. 373. *Lyceas* aliunde non cognitus. de *Telea* cf. Aristoph. Av. 168. 1025. Pac. 1008. Plat. 161, *de Pisandro* Meinek. I 178 et Aristoph. Av. 1556, denique de *Execestide* interpr. Aristoph. Av. 11.

21

Α. τίς δ' ἔστιν ὁ μετὰ ταῦτα φροντίζων; Β. Μέτων,
ὁ Λευκονοιεύς. Α. οἶδ', ὁ τὰς κρήνας ἄγων.

Schol. Aristophan. Av. 997 et Suid. Μέτων· ἴσως δὲ ἐν Κολωνῷ κρήνην τινὰ κατεσκευάσατο· φησὶν ὁ Φρύνιχος Μονοτρόπῳ κτλ. 1. ταῦτα] ταῦτα ταύτης Schol. 2. Λευκονοιεύς Schol. Ven. et Suid. AB] Λωκονοιεύς Suid. V. Λευκονοιεύς firmatur Kirchhoffii Inscr. Att. 176. 238. οἶδ' Suid.] οἶδα. Leuconoea erat pagus Leontidis tribus, unde oriundus Meton (Aristoph. Av. 992 cum interpr. Aelian. V. h. 10, 7, ubi Λευκονοιεύς ex Salmasii coniectura pro Λάκων). ὁ μετὰ ταῦτα vix sana. ἔσθ' ὁ μετ' αὐτοῦ ταῦτα Fritzschius apud Toeppel. Progr. Neobr. 1851, 9, Phainum vel Euctemona significari ratus, qui ambo Metonem

adiuvabant. fort. *τίς δ' ἔστιν ὁ τὰ τοιαῦτα φροντίζων*; quod fontes duxisse Meton dicitur, ad aquas per urbem ipsam et in Piraeeum belli temporibus ductas (Thuc. 2, 48) recte videtur rettulisse Wachsmuthius Athen. I 572 cum not. 2. cf. etiam L. Herbst. Philol. XXXVIII 528.

22

. . *ἀλλ' ὑπερβέβληκε πολὺ τὸν Νικίαν*
στρατηγίας πλήθει τε κἀξευρήμασιν.

Suidas *ὑπερακοντίζεις* . . . *Φρύνιχος Μονοτρόπῳ· ἀλλὰ — κἀξευρήμασιν, ἢ ὅτι φρονιμώτατα Μηλίους λιμῷ ἀνεῖλεν.* petita haec sunt ex locupletioribus scholiis Aristoph. Av. 363. initio deest thesis, quae variis modis suppleri potest. *στρατηγίας*] *στρατηγιῶν* Toupius Emend. II 302. *κἀξευρήμασιν* idem] *καὶ εὑρήμασιν.*

23

ὁ δ' ὀλιγόσιτος Ἡρακλῆς ἐκεῖ τί δρᾷ;

Athenaeus 6, 248c *ὀλιγοσίτου δὲ μέμνηται Φρύνιχος ἐν Μονοτρόπῳ κτλ.* fortasse aliquis princeps Atheniensium Hercules adpellatur.

24

ἔπειτ' ἐπειδὰν τὸν λύχνον κατακοιμίσῃ —

Pollux 7, 178 *Φρύνιχος δ' εἴρηκεν ἐν Μονοτρόπῳ κτλ.* Athenaeus 15, 700f *κοιμίσαι λύχνον Φρύνιχός φησι.*

25

κἀντραγεῖν σικύδιον

Athenaeus 3, 74a *σικύδιον ὑποκοριστικῶς εἴρηκε Φρύνιχος ἐν Μονοτρόπῳ κἀντρ. σ. ἐν Μονοτρόπῳ* add. A, 'in quo litteris paene evanidis exarata sunt'. Dindorf. *σικύδιον* deminutivum est nominis *σικυός.*

26

Schol. Aristoph. Av. 1297 *δοκεῖ δὲ (Συρακόσιος) καὶ ψήφισμα τεθεικέναι μὴ κωμῳδεῖσθαι ὀνομαστί τινα, ὡς Φρύνιχος ἐν Μονοτρόπῳ φησί· ψῶρ' ἔχε Συρακόσιον, ἐπιφανὴς γὰρ αὐτῷ καὶ μέγα τύχοι. ἀφείλετο γὰρ κωμῳδεῖν οὓς ἐπεθύμουν. διὸ πικρότερον αὐτῷ προσφέρονται. αὐτῷ* om. Ven. audacissimis coniecturis haec verba emendare conati sunt G. Hermannus apud Fritzsch. Q. Arist. 307. Cobet. Obs. crit. 39, numeros anapaesticos esse arbitrati. paeonicos restituit Usenerus apud Leonem Q. Arist. 23 adn. *ψὰρ' ἔχε Συρακόσιον. | εἶθ' ἐπιφανὲς γὰρ αὐτῷ | καὶ μέγα τύχοι κακόν.* 'tene tibi sturnum loquacem Syracosium, ut idem

audit apud Aristoph. Av. 1297 *κίττα*· loquaculum Syracosium indicat Eupolis *Πόλεσιν'* (207). quibus quae Leo adiecit non magni sunt pretii. verba *ἀφείλετο* — *ἐπεθύμουν*, casu aliquo numerorum anapaesticorum similitudinem referentia, sine dubio scholiastae sunt et artissime coniungenda cum proximis *διὸ* — *προσφέρονται*. compendiis potissimum librariorum verba poetae depravata videntur et initio sic fere restituenda: *ψώραν εὔχεσθε Συρακοσίῳ*. a reliquis manum abstineo. petita videntur ex parabasi.

27

ἀρτοποπεῖν

Bekker. Anecd. 447, 25 *ἀρτοπόπον καὶ Ἀττικοὶ καὶ Ἴωνες τὸν ἀρτοποιόν. ἔστι δὲ τὸ ἀρτοποπεῖν ἐν Μονοτρόπῳ Φρυνίχου.* cod. *ἀρτόποτον* et *ἀρτοποτεῖν*. ibid. 22, 23 *ἀρτοποπήν* (*ἀρτοποπεῖν* Meinek.)· *οὕτως Ἀττικοὶ διὰ τοῦ π̄*. Pollux 7, 21 *τὸ δὲ ῥῆμα τὸ ἀρτοκοπεῖν* (Meinek. *ἀρτοποπεῖν*) *ἐν Φρυνίχου Μονοτρόπῳ*. Phrynich. Ecl. 222 *ἀρτοκόπος ἀδόκιμον. χρὴ δὲ ἀρτοπόπος ἢ ἀρτοποιός λέγειν*, ubi cf. Lobeck.

28

γναθοῖ

ἀντὶ τοῦ τὴν γνάθον τύπτει. Φρύνιχος Μονοτρόπῳ. Bekker. Anecd. 87, 8. Hesych. *γναθοῦν· τὸ εἰς γνάθους τύπτειν.*

29

θηλάζει

ἀντὶ τοῦ δίδωσι θηλήν. Φρύνιχος Μονοτρόπῳ. Bekker. Anecd. 99, 14.

30

Photius et Suidas *παρθένοι· τὰς Ἐρεχθέως θυγατέρας οὕτως ἔλεγον καὶ ἐτίμων. ἦσαν δὲ τὸν ἀριθμὸν ἕξ. πρεσβυτάτη μὲν Πρωτογένεια, δευτέρα δὲ Πανδώρα, τρίτη Πρόκρις, τετάρτη Κρέουσα, πέμπτη Ὠρείθυια, ἕκτη Χθονία· τούτων λέγεται Πρωτογένεια καὶ Πανδώρα δοῦναι ἑαυτὰς σφαγῆναι ὑπὲρ τῆς χώρας, στρατιᾶς ἐλθούσης ἐκ Βοιωτίας· ἐσφαγιάσθησαν δὲ ἐν τῷ Ὑακίνθῳ καλουμένῳ πάγῳ ὑπὲρ τῶν Σφενδονίων. διὸ καὶ οὕτως καλοῦνται παρθένοι Ὑακινθίδες, καθάπερ μαρτυρεῖ Φανόδημος ἐν τῇ ε΄ Ἀτθίδι, μεμνημένος τῆς τιμῆς αὐτῶν, καὶ Φρύνιχος Μονοτρόπῳ.* pro *Σφενδονίων* Meinekius *Σφενδονῶν*. Bekker. Anecd. 202, 22 *ἀφιδρύματα ἐν ταῖς σφενδόναις· ἀφιδρύματα μὲν τὰ ἀγάλματα, σφενδόναι δὲ τόπος Ἀθήνησιν.* Hesych. *Ὑακινθίδες· ἐπώνυμοι* [*Ἀπόλλωνος*] *ἀπὸ Ὑακίνθου* 'sc. *πάγου*' M. Schmidt.

Ad Monotropum Bergkius R. c. Att. 372 refert fr. 59. cf. fr. 58.

ΜΟΥΣΑΙ

Argument. Aristoph. Ran. *ἐδιδάχθη ἐπὶ Καλλίου τοῦ μετὰ Ἀντιγένη* (Ol. 93, 3) ... *εἰς Λήναια. πρῶτος ἦν. Φρύνιχος δεύτερος Μούσαις. Πλάτων τρίτος Κλεοφῶντι.* cf. etiam fr. 31. argumentum simillimum fuit Ranarum, siquidem certamen de artis tragicae principatu poeta inter Sophoclem et Euripidem videtur instituisse, Musis ipsis litem dirimentibus. Meinek I 157. Bergk. R. c. Att. 366. 7. cf. quae in praef. Ran. disputavimus §. 18 et 25.

31

μάκαρ Σοφοκλέης, ὃς πολὺν χρόνον βιοὺς
ἀπέθανεν, εὐδαίμων ἀνὴρ καὶ δεξιός,
πολλὰς ποιήσας καὶ καλὰς τραγῳδίας·
καλῶς δ' ἐτελεύτησ' οὐδὲν ὑπομείνας κακόν.

Argum. III Sophocl. Oed. Col. *ὁ δὲ Φρύνιχος ἐν Μούσαις, ἃς συγκαθῆκε τοῖς Βατράχοις, φησὶν οὕτως κτλ. Σοφοκλέης* Elmsl.] *Σοφοκλῆς.* 4. *δ'* add. Hermannus.

32

ἰδού, δέχου τὴν ψῆφον· ὁ καδίσκος δέ σοι
ὁ μὲν ἀπολύων οὗτος, ὁ δ' ἀπολλὺς ὁδί.

Harpocratio, Photius, Suidas *καδίσκος ... ἀγγεῖόν τι, εἰς ὃ ἐψηφοφόρουν οἱ δικασταί, οὕτως ἔλεγον. Φρύνιχος Μούσαις κτλ.* 2. *ὁ δ'*] '*ὁ* om. BC.' Bekk. *ἀπολλὺς δ'* pr. B. ad musicum poetarum certamen refert Meinekius. cf. Xen. Hell. 1, 7, 9.

33

ὦ κάπραινα καὶ περίπολις καὶ δρομάς

Pollux 7, 203 *ἐν δὲ Φρυνίχου Μούσαις κτλ. ὦ καὶ* Meinekius, *ἀλλ' ὦ* Bergkius R. c. Att. 315. *περίπολις*] *περιβολὰς* A, *περίπολε* C. post Phrynichi verba *καὶ φορβὰς τὴν πόρνην λέγει ὥσπερ καὶ μαινὰς καὶ μαχλάς* add. A. Euripidis Musam compellari suspicatur Meinekius. cf. Aristoph. Ran. 1305. 8. Hermipp. 10. Cephisodor. 7. Phot. *μύραινα* (indic. Meinek.).

34

κἂν ὀξυβάφῳ χρῆσται τρεῖς χοίνικας ἢ δύ' ἀλεύρων.

Pollux 10, 86 *οὐ γὰρ μόνον ἐπὶ τῶν κοτταβικῶν εἴρηται τὰ ὀξύβαφα, ἀλλὰ καὶ ἐπὶ τῶν εἰς τὴν ἐδώδιμον χρείαν ... κἂν ταῖς Φρυνίχου Μούσαις κτλ. χρῆσται* Meinek.] *χρῆσθαι. χρεῖσθαι* C. cf. Pherecr. 103. *μάττειν* post *χρῆσται* add. Meinek.

35

πηλαμύς

Φρύνιχος ἐν Μούσαις μνημονεύει. Athenaeus 7, 319 a. piscis est.

Praeterea ad Musas cum Bergkio R. c. Att. 376. 7 Meinekius fr. 65. 69 refert, ita tamen ut etiam ad Tragoedos pertinere potuisse concedat.

ΜΥΣΤΑΙ

Meinek. I 158. chorum ex mystis compositum fuisse actamque esse fabulam eo tempore quo Alcibiades Eleusinia bello interrupta restituerit coniectura est Bergkii R. c. Att. 375.

36

μάστιγα δ' ἐν χεροῖν ἔχων ἐτεύτασεν.

Photius *τευτάζειν· πραγματεύεσθαι ἢ σκευωρεῖσθαι ἢ στραγγεύεσθαι καὶ πολὺ διατρίβειν ἐν τῷ αὐτῷ . . . Φρύνιχος Μύσταις κτλ. χεροῖν* Ruhnken. Tim. 254] *χερσίν. ἐτεύτασεν* Bergk. R. c. Att. 375] *τευτασθαι* (sic). *τευτάζεται* Ruhnken. at media forma inusitata comicis. flagello sine dubio is de quo narratur ad coercendos servos utebatur. cf. Aristoph. Eq. 59. 64. 67.

37

ἐβουλόμην ἂν ἧμιν ὥσπερ καὶ προτοῦ

Eustathius 1112, 36 *Ἴωνες δὲ πολλάκις δὲ καὶ Ἀθηναῖοι προπερισπῶσι (τὸ ἡμῖν) ἐν συστολῇ τοῦ ι . . . Φρύνιχος Μύστῃ κτλ.* at cum eius quam Eustathius commemorat consuetudinis apud tragicos quidem permulta, apud comicos certa exempla nulla exstent (cf. quae adnotavimus ad Aristoph. Av. 386), scribendum videtur *ἐβουλόμην ἂν νὴ Δί' ὥσπερ κτλ.*

Ad Mystas Bergkius R. c. Att. 375 adsentiente Meinekio refert fr. 70.

ΠΟΑΣΤΡΙΑΙ

Cf. quae ad cognominem Magnetis fabulam adnotavimus.

38

αὐτοπυρίταισί τ' ἄρτοις καὶ λιπῶσι στεμφύλοις

Athenaeus 3, 110e *Φρύνιχος δ' ἐν Ποαστρίαις αὐτοπυρίτας αὐτοὺς (ἄρτους) καλῶν φησιν κτλ.* Pollux 7, 23 *ἄρτους δὲ αὐτοπυρίτας ἐρεῖς, ὡς ἐν Ποαστρίαις Φρύνιχος.* ubi *διπυρρίτας* A. correxit ex Athe-

naeo Bekkerus. eidem sunt qui *αὐτόπυροι* dicuntur. praeterea Meinekius confert Phot. *λιπῶσι· λιπαρῶσι* (*λιπαροῖς* Meinek.).

39

ὥσπερ ἐμὸν αὐτῆς ἴδιον

Priscianus 17, 126 *quod mirum est, hoc ipsum ἴδιον, etiam primae et secundae adiungitur personae apud illos, ut . . . Phroenichus Ποαστρίαις· ὥσπερ ἐμὸν αὐτῆς ἴδιον. αὐτῆς* d] ΑΙΤΗC MD. *ἴδιον*] ΔΙΟΝ R. videtur mulier gloriari quod privignum non aliter atque filium curet.

40

κύλικ' ἀρύστιχον

Φρύνιχος Ποαστρίαις. Athen. 10, 424c.

41

Schol. Lucian. p. 186 Iac. *Μειδίας ὀρτυγοκόπος ἦν, ὡς Πλάτων Περιάλγει· καὶ ὡς πονηρὸν δὲ καὶ κόβαλον καὶ τῶν δημοσίων νοσφιστὴν Φρύνιχος καὶ Πλάτων διαβάλλουσιν*. Schol. Aristoph. Av. 1297 *δηλοῖ δὲ τοῦτο Ἀριστοφάνης Περιάλγει . . . λέγει δὲ ἐν Ποαστρίαις ὁ αὐτὸς ὡς καὶ περὶ ἀλέκτορας αὐτοῦ* (*Μειδίου*) *ἐσπουδακότος*. Phrynichi nomen pro *ὁ αὐτός* restituendum esse arbitratur Meinekius, transponenda verba *λέγει — ἐσπουδακότος* post *Φρύνιχος ἐν Ἐφιάλτῃ* (fr. 4) Dindorfius.

42

Harpocratio 75, 23 *ὅτι δὲ ἐπὶ παντὸς τοῦ ἐκ τῶν ἰδίων ἐκβαλλομένου τάττεται τοὔνομα* (*ἐξούλης*), *καὶ οὐχ ὡς οἴεται Καικίλιος μόνων τῶν ἐκ καταδίκης ὀφειλόντων, καὶ Φρύνιχος ἐν Ποαστρίαις δῆλον ποιεῖ*. adfert H. Iacobi Aristid. 45 p. 167 (133 Dind.) *δέδοικα . . . μὴ καὶ ταῖς γραυσὶν ἡμᾶς ἐξούλης ὀφλεῖν ἐπισκώπτων φῇ τις ἀνὴρ κωμικός*. cf. Boeckh. Oecon.[2] I 496. Meier et Schoem. Att. Proc. 748.

43

χοιροτροφεῖον

ἐν ᾧ χοῖροι τρέφονται, ὡς . . . Φρύνιχος ἐν Ποαστρίαις. Pollux 10, 159. cf. Eupol. 453.

ΣΑΤΥΡΟΙ

44

Phrynichus Epit. 266 *εὐαγγελίζομαι — εὑρίσκω κατὰ δοτικὴν*

ἡρμοσμένον, Ἀριστοφάνους μὲν οὕτω λέγοντος ... Φρυνίχου δὲ τοῦ κωμῳδοῦ ἐν τοῖς Σατύροις οὕτως· ὅτι ἢ πρὶν ἐλθεῖν αὐτὸν εἰς βουλὴν ἔδει καὶ ταῦτ' ἀπαγγείλαντα πάλιν πρὸς τὸν θεὸν ἥκειν, ἐγὼ δ' ἀπέδραν ἐκεῖνον δευριανὸν δεῖ. Scaligeri, Pauwii, G. Hermanni conamina congessit Lobeckius. Phrynichi locum excidisse, ea autem verba quae grammaticus ex poeta adferat ex Aristoph. Eq. 642 et Plut. 766 conflata esse contendit Dindorfius. contra Cobetus N. l. 162. 3 hos trimetros elicuit

⏑ _ ⏑ ἐλθεῖν αὐτὸν εἰς βουλὴν ἔδει
καὶ ταῦτ' ἀπαγγείλαντα πάλιν πρὸς τὸν θεὸν
ἥκειν, ἐγὼ δ' ἀπέδραν ἐκεῖνον δεῦρ', ἵνα
εὐαγγελίσωμαι πρῶτος ὑμῖν τἀγαθά.

cui de tribus primis versibus adsentior, nisi quod in v. 2 ad pravam caesuram vitandam scribendum censeo *πάλιν ὡς τὸν θεόν.*

45

Κορκυραῖαι δ'· οὐδὲν . . .
ἐπιβάλλουσιν μάστιγες.

Schol. Aristoph. Av. 1463 *λέγεταί τις Κορκυραία μάστιξ. Φρύνιχος Σατύροις κτλ. ὥστε καὶ εἰς παροιμίαν ἤδη ἐλθεῖν.* versus digessit Hermannus Opusc. I 49. post *οὐδὲν* suppleverim *μετρίως. Κόρκυρα* exstat in Kirchhoff. I. A. 179, *Κέρκυρα* ante Euclidem non videtur reperiri.

46

βοάσομαί τἄρα τὰν ὑπέρτονον
βοάν.

Schol. Aristoph. Nub. 1154 *παρὰ τὰ ἐκ Πηλέως Εὐριπίδου ... καὶ Φρύνιχος Σατύροις κτλ. τἄρα* G. Hermann.] *γὰρ ἄρα.*

47

Schol. Vesp. 82 *καὶ γὰρ ὁ Φιλόξενος ἐκωμῳδεῖτο ὡς πόρνος ... Φρύνιχος Σατύροις.*

48

κεκτημένον

Φρύνιχος ἐν Σατύροις τὸν δεσπότην ὠνόμασεν. Pollux 3, 73. Bekker. Anecd. 102, 20 *κυρίαν οὔ φασι δεῖν λέγειν, ἀλλὰ κεκτημένην, τὸν δὲ κεκτημένον μὴ λέγεσθαι ἀντὶ τοῦ δεσπότου. Σατυρικοῖς κεκτημένον λέγει, Φιλήμων κυρίαν.* Meinekius *Φρύνιχος δὲ Σατύροις κεκτημένον λέγει.* cf. Bergk. R. c. Att. 300.

49

Athenaeus 3, 87 b. Ἀριστώνυμος Θησεῖ (fr. 1) 'κόγχος ἦν βαπτῶν ἁλῶν'. ὁμοίως καὶ παραπλησίως δ' εἴρηκε καὶ Φρύνιχος Σατύροις. βαπτῶν ἁλῶν Porson] βάπτων ἄλλων.

ΤΡΑΓΩΙΔΟΙ Η ΑΠΕΛΕΥΘΕΡΟΙ

Titulus duplex ab uno Suida commemoratur. alterum nomen fortasse ad iteratam fabulae recensionem spectare Meinekius iudicat I 158 conl. Athen. 3, 115 b. Bekker. Anecd. 421, 3. Musarum similis videtur fuisse. cf. fr. 55.

50

ὦ χρυσοκέφαλοι βεμβράδες θαλάσσιαι

Athenaeus 7, 287 b βεμβράδες. Φρύνιχος Τραγῳδοῖς κτλ. utraque forma et μεμβράδες et βεμβράδες iam inde ab Eupolide comicis usitata. est apuarum genus. Athen. 7, 287 b sq. Eupol. 28. Aristophan. fr. 137. Vesp. 493. si θαλάσσιαι (non θαλάττ.) Phrynichus scripsit, parodia statuenda est.

51

περιστέριον δ' αὐτῷ τι λαβὲ τριωβόλου.

Athenaeus 14, 654 b Φρύνιχος Τραγῳδοῖς κτλ. λαβέ, i. e.. *eme* ex foro. Pherecr. 81. Aristoph. fr. 247. Antiphan. 26, 4. 13. Eubul. Athen. 2, 65 e. Ephipp. 15, 5. Alexid. 108, 3. 9. Athen. 4, 170 a, (2. 3). cet. dubitari potest utrum dicat '*eme ei*' an '*eme ab eo*'. cf. Aristoph. Ran. 1227 (cum eis quae adnotavit Fritzschius). 1229.

52

σὺ δὲ τιμιοπώλης ὡς Ἀχιλλεὺς οὐδὲ εἷς.

Pollux 7, 195 εἶεν δ' ἄν τινες καὶ νεκροφόροι καὶ ταφεῖς. τὰ δ' ἐπὶ τούτοις ἀπὸ τοῦ πιπράσκειν. ἔστιν δ' εἰπεῖν ἐπ' αὐτῶν τὸ τιμιοπῶλαι, εἰρηκότος Φρυνίχου ἐν Τραγῳδοῖς κτλ. recte haec verba iam Casaubonus interpretatus est: reprehendit enim nescio quis hominem in foro merces suas vendentem dicens '*tu vero merces tuas nimio pretio vendis ut ne Achilles quidem ullus*', qui Hectoris corpus ingenti pretio patri reddiderat. cf. Diphil. 33, 7. 8 γόγγρον μέν, ὥσπερ ὁ Πρίαμος τὸν Ἕκτορα . . . ἐπριάμην. miror igitur et Meinekium et H. Iacobium commendantes οὐδενός pro οὐδὲ εἷς ('*rei nullius pretii*'). dicendum certe erat τοῦ μηδενός.

53

τὸν Κλεόμβροτόν τε τοῦ
Πέρδικος υἱόν

Athenaeus 9, 389a *Φρύνιχος Τραγῳδοῖς κτλ. τὸ δὲ ζῷον ἐπὶ λαγνείας συμβολικῶς παρείληπται.* 'Cleombrotum Perdicis filium adpellavit eodem modo quo inportunus et vanus iactator dicitur filius Selli (fr. 10) aut Antimachus omnia conspuere solitus filius Psacadis Aristoph. Ach. 1149'. Meinek., de perdicum libidine conferri iubens Aristot. H. an. 2, 61. Aelian. H. an. 3, 16. Bergk. Anacr. 227. de *Perdice* cf. Aristoph. Av. 1292. Hesych. *Πέρδικος καπηλεῖον· χωλὸς κάπηλος ὁ Πέρδιξ ἦν.* est hoc quoque cognomen homini inditum, non nomen ipsum, quod ignoramus. ceterum scribendum videtur *τὸν Π. υἱόν.*

54

αἰτίαν ἔχει
πονηρὸς εἶναι τὴν τέχνην.

Priscianus 18, 274 *Attici πονηρὸς τὴν τέχνην. Φρύνιχος Τραγῳδοῖς κτλ.* in nescio quem tragicum haec dicta sunt. nimium Scaligeri conlationi tribuerunt et Meinekius et Herwerdenus Obs. crit. 27, qua de re cf. quae Hertzius ad Priscianum adnotavit. ceterum cf. etiam Pherecr. 147.

55

τῇ διαθέσει τῶν ἐπῶν

Harpocratio *διάθεσις . . . ἀντὶ τοῦ διοίκησις . . . Φρύνιχος Τραγῳδοῖς κτλ.* Hesych. *διαθέσει· διακοσμήσει.* videor mihi Euripidem audire contra Aeschylum vel Sophoclem dicentem. *ἀσαφὴς γὰρ ἦν ἐν τῇ φράσει τῶν πραγμάτων.* cf. Aristoph. Ran. 1122. 1181.

56

καὶ τέμαχος αὔξιδος

Bekker. Anecd. 464, 5 *αὔξις· εἶδος θυννίδος, ἥν τινες κορδύλην λέγουσι. Φρύνιχος Τραγῳδοῖς κτλ.* Meinekius conferens Nicandr. Alex. 469. Aristot. H. an. 6, 16 *αὐξίδος* et *αὐξίς.* numeri fortasse cretici, quapropter Meinekius hoc fr. ad idem cum fr. 57 canticum rettulit. possunt tamen etiam trimetri iambici reliquiae esse.

57

ἡδὺ δ' ἀποτηγανίζειν ἄνευ συμβολῶν.

Athenaeus 6, 229a *τοῦ δὲ ῥήματος (ἀποτηγανίζειν) μέμνηται*

Φρύνιχος ἐν Τραγῳδοῖς κτλ. Eustath. 1862, 19. est tetrameter creticus ex chorico excerptus.

Praeterea cf. quae adnotavimus ad finem Musarum.

ΑΔΗΛΩΝ ΔΡΑΜΑΤΩΝ

58

ὦ φίλταθ' Ἑρμῆ, καὶ φυλάττου, μὴ πεσὼν
σαυτὸν παρακρούσῃ καὶ παράσχῃς διαβολὴν
ἑτέρῳ Διοκλείδᾳ βουλομένῳ κακόν τι δρᾶν.
ΕΡΜ. φυλάξομαι. Τεύκρῳ γὰρ οὐχὶ βούλομαι
μήνυτρα δοῦναι τῷ παλαμναίῳ ξένῳ.

Plutarchus Alcib. 20 *τοὺς δὲ μηνύσαντας ὁ μὲν Θουκυδίδης ὀνομάσαι παρῆκεν, ἄλλοι δ' ὀνομάζουσι Διοκλείδαν καὶ Τεῦκρον, ὧν καὶ Φρύνιχός ἐστιν ὁ κωμικὸς ταυτὶ πεποιηκὼς κτλ.* 1. *φυλάττου* Meinek.] *φυλάσσου. καὶ* om. C. antea is qui loquitur dixerat '*χαῖρέ μοι* vel simile quid'. Meinek. — aut ex Monotropo aut ex Comissatoribus haec excerpta sunt. cf. Droysen. Mus. Rhen. III 169 sq. IIII 27 sq. Meinek. I 155. Bergk. R. c. Att. 370. de *Dioclida* vel potius Dioclide (nam *Διοκλείδης* semper Andocides, ac sic etiam Phrynichus scripsit: erat enim civis Atheniensis) Andocid. 1, 37 sq. 45. 65 sq., de *Teucro* Andocid. 1, 15. 28. 34 et quae in praef. Av. disputavi §. 16—21. 25—27. Mercurium in convivio Hermocopidarum praesentem adfuisse et vino madidum titubantemque moneri ne cadat non credo Meinekio. illud enim convivium si in scaena agebatur, necessario scelus ipsum comissatorum anteibat, neque in convivio commemorari poterant quae scelere demum facto evenerunt. videtur potius Herma a nescio quo poni et monenti ne cadat tamquam vivus sit respondere. pro *παρακρούσῃ* v. 2 non cum Meinekio *περικρούσῃ*, sed *περικρούσῃς* scribendum est. *παρακρούειν* enim et *παρακρούεσθαι* est *decipere*; in ea de qua poeta loquitur re proprium est *περικόπτειν* et *περικρούειν*. cf. Plat. Reip. 10, 611 e. Thuc. 6, 27. 28. Andocid. 1, 15. 34. Lys. 14, 42. 6, 51. Demosth. 21, 147. Bekker Anecd. 60, 25 (indic. a Meinek.) *περικεκρουμένος ἄνθρωπος· ὁ οὐχ ὁλόκληρος. ἡ μεταφορὰ ἀπὸ τῶν ἀγγείων τῶν ὑπὸ χρόνου περικεκρουμένων.*

59

ἦν γὰρ πολίτης ἀγαθός, ὡς εὖ οἶδ' ἐγώ,
κοὐχ ὑποταγεὶς ἐβάδιζεν, ὥσπερ Νικίας.

Plutarchus Nic. 4 *ὑποδηλοῖ δὲ καὶ Φρύνιχος τὸ ἀθαρσὲς αὐτοῦ καὶ καταπεπληγμένον ἐν τούτοις κτλ.* *ὑποταγέντα* Meinekius interpretatur *timidum* et *demisso animo*. neque ea forma aoristi neque

significatio Atticis usitata est: nam Eurip. fr. 979 N. admodum dubium est exemplum: posteriorum autem scriptorum consuetudo (Arr. Epict. 4, 4, 33) nullius in hac re momenti est. itaque Phrynichum scripsisse existimo aut *κοὐ καταπλαγείς* aut quod magis placet *κοὐ συσταλείς*. cf. Eurip. Iph. T. 295. Aristoph. Eccl. 486. Plat. Lysid. 210 e. Leg. 3, 691 e. ad Monotropum referebat Bergk. R. c. Att. 372.

60

ἀμυγδαλῆ τῆς βηχὸς ἀγαθὸν φάρμακον.

Athenaeus 2, 53 a *Φρύνιχος*. cf. Pherecr. 148. Eupol. 253.

61

ἢ μαζίου τι μικρὸν ἢ κολοκυντίου

Athenaeus 2, 59 c *Φρύνιχος ὑποκοριστικῶς κτλ. κολοκύντιον* Meinek. Anal. Ath. 30.

62

ἐμεῖ καταμηλῶν· φλέγματος γὰρ εἶ πλέως.

Pollux 4, 181 *ἐργαλεῖα ἰατρῶν . . . μήλη. καὶ μηλῶσαι τὸ τὴν μήλην καθεῖναι. ὅθεν καὶ Φρύνιχος ὁ κωμικός κτλ. φλέγματος* Salmas.] *καὶ φλέγματος*, nulla ante *καὶ* interpunctione. cf. Aristoph. Eq. 1150. Hesych. *μηλῶσαι· τὸ τὴν μήλην καθεῖναί που. καὶ ἐν τῷ ἐμεῖν καθιέντας τι εἰς τὸ στόμα καταμηλοῦν.*

63

τριώβολόν γ' ὅσουπερ ἡλιάζομαι.

Schol. Ven. Aristoph. Vesp. 300 *ἦν μὲν γὰρ ἄστατον τὸ τοῦ μισθοῦ (τοῦ δικαστικοῦ). ποτὲ γὰρ διωβόλου ἦν, ἐγίνετο δὲ ἐπὶ Κλέωνος τριώβολον. Φρύνιχος κτλ. τριώβολόν γ' ὅσουπερ ἡλ.* Hermannus ap. Duebn. Schol. Ar. p. 452] *τριώβολον ὅσον ὑπερηλ.* Meinekius *τριωβόλων ὅσων περ ἡλ.*

64

πολὺς δὲ συβαριασμὸς αὐλητῶν τότ' ἦν.

Schol. Aristoph. Pac. 344 *Καλλίστρατος (συβαρίζειν) τρυφᾶν, ἀπὸ τῆς συβαριτικῆς τρυφῆς. Ἀρτεμίδωρος ἁπλῶς θορυβεῖν. καὶ Φρύνιχος κτλ. τότ' ἦν* Meinekius] *ἦν. παρῆν* Bergkius R. c. Att. 366, qui ad Comissatores fr. refert. *ἄρ' ἦν* vel *ἐπῆν* Dindorf. et quidni *ἅμ' ἦν*? Hesych. *συβριασμός. ὁ ἐν εὐωχίᾳ θόρυβος. συβριακόν· τὸ πολυτελές. συβριάζει· συβαρεύεται, τρυφᾷ.* Etym. m. 732, 26 *συβριάζειν· ἀπὸ τοῦ συβαρίζειν ἐν ὑπερθέσει.* unde

Herwerden. Nov. add. crit. 8 πολὺς δὲ συβριασμός, quamquam unde compererit primam eius nominis syllabam produci non dicit. ex Cratin. fr. 84 tertia forma elici potest συρβιασμός.

65

οὐ γλύξις οὐδ' ὑπόχυτος, ἀλλὰ Πράμνιος.

Diogenes Laert. 4, 20 ἦν (Σοφοκλῆς) κατὰ τὸν Φρύνιχον οὐ κτλ. perperam haec ad Polemonem philosophum refert Suidas ὑπόχυτος οἶνος. scilicet Diogenes Polemonem narrat eis inprimis Sophoclis versibus delectari solitum fuisse, ubi cet. γλύξις] γλυκύς Suid. γλύξις ab Athenaeo 1, 31 e explicatur ὁ τὸ ἕψημα ἔχων, i. e. *musto decocto mixtum*. Plin. N. h. 14, 80 *siraeum quod alii* ἕψημα, *nostri sapam adpellant, ingenii non naturae opus est, musto usque ad tertiam partem mensurae decocto.* Athen. 1, 31 e Τιμαχίδας δὲ ὁ Ῥόδιος ὑπόχυτόν τινα οἶνον ἐν Ῥόδῳ καλεῖ παραπλήσιον τῷ γλυκεῖ. ex Musis aut Tragoedis petitum.

66

ἑπτάκλινος οἶκος ἦν καλός,
εἶτ' ἐννεάκλινος ἕτερος οἶκος.

Athenaeus 2, 47 f ὅτι καὶ τρίκλινοι οἶκοι καὶ τετράκλινοι καὶ ἑπτάκλινοι καὶ ἐννεάκλινοι καὶ κατὰ τοὺς ἑξῆς ἀριθμοὺς ἦσαν παρὰ τοῖς παλαιοῖς . . . Φρύνιχος κτλ.

67

ἦσαν δὲ καὶ γυναῖκες ἀφήλικες.

Pollux 2, 17 Φρύνιχος δὲ τὰς νέας ἀφήλικας λέγει κτλ. post γυναῖκες 'excidisse videtur ἕξ'. Meinek. Cratin. 369. Pherecr. 206.

68

τοὺς δὲ γομφίους
ἅπαντας ἐξέκοψεν, ὥστ'
οὐκ ἂν δυναίμην Ναξίαν
ἀμυγδάλην κατᾶξαι.

Athenaeus 2, 52 c αἱ Νάξιαι ἀμυγδάλαι διὰ μνήμης ἦσαν τοῖς παλαιοῖς. καὶ γίνονται ὄντως ἐν Νάξῳ τῇ νήσῳ διάφοροι (i. e. *egregiae*) . . . Φρύνιχος κτλ. cf. Eupol. 253. versus digessit Erfurdt. Observ. 43. est exitus systematis iambici. Strepsiadem aliquem de filio querentem audire mihi videor.

69

(καὶ νιγ)λάρους θρηνεῖν, ἐν οἷσι Λάμπρος ἐναπέθνησκεν,
ἄνθρωπος ὢν ὑδατοπότης, μινυρὸς ὑπερσοφιστής,
Μουσῶν σκελετός, ἀηδόνων ἠπίαλος, ὕμνος Ἅιδου.

Athenaeus 2, 44d ὑδροπότης δ' ἦν καὶ Λάμπρος ὁ μουσικός, περὶ οὗ Φρύνιχός φησι κτλ. καὶ νιγλάρους Bergkius] λάρους. ἐν οἷσι] οἴζισι? 2. ὢν add. Erfurdt. Obs. 434. ὑδατοπότης Meinek. Anal. Ath. 24] ὑδατοπότας. *Lamprus* egregius ille est Sophoclis in re musica magister, de quo cf. Plat. Menex. 236a. Athen. 1, 20ef. Plut. Mor. 1142b. Corn. Nep. Epamin. 2. Bergk. R. c. Att. 376. νιγλάρους θρηνεῖν '*querulos cantus edere*', ut Aeschylus apud Bekker. Anecd. 349, 6 θρηνεῖν δὲ γόον τὸν ἀηδόνιον. cf. Pherecr. 145, 27. Eupol. 110. Μουσῶν σκελετός. '*Musarum aridum et exsiccatum cadaver*' (Muret. V. l. 9, 5) aut '*qui cantu maciem adfert Musis*' (Meinek.), ἀηδόνων ἠπίαλος, '*qui cantu febrem adfert lusciniis*' (Erfurdt). Hesych. ἠπίαλος· ῥῖγος πρὸ πυρετοῦ. ἐκαλοῦντο δ' οὕτω καὶ οἱ ψυχροί (perperam αἱ ψυχαί M. Schmidt). sic Herod. 5, 18 formosas mulieres ὀφθαλμῶν ἀλγηδόνας dicit. ὕμνος Ἅιδου *homo cantu audientes enecans*. Musarum Tragoedorumve fragmentum est. Bergk. R. c. Att. 376.

70

ἃ δ' ἀνάγκα 'σθ' ἱερεῦσιν καθαρεύειν φράσομεν.

Hephaestio 12, 4 τῶν δὲ ἐν τῷ μέτρῳ (ἰωνικῷ) μεγεθῶν τὸ μὲν ἐπισημότατόν ἐστι τὸ τετράμετρον καταληκτικόν, οἷον ... παρὰ Φρυνίχῳ τῷ κωμικῷ ἃ δ' κτλ. metrum est Phrynicheum, quod a tragico potius quam a comico nomen accepisse suspicatur Meinekius I 150. ἃ δ' ἀνάγκα 'σθ' I. C. Scaliger Poet. 2, 21] ἅδ' ἀνάγκας θ'. καθαρεύειν est καθαρὸν εἶναι, ut Plat. Phaed. 58b. ad Mystas refert Bergk. 375.

71

Aristoph. Nub. 555 προσθεὶς αὐτῷ γραῦν μεθύσην τοῦ κόρδακος εἵνεχ', ἣν | Φρύνιχος πάλαι πεποίηχ', ἣν τὸ κῆτος ἤσθιεν. Pollux 6, 19 πότις γυνὴ παρὰ Φρυνίχῳ τῷ κωμικῷ. eam eandem esse de qua Aristophanes narret suspicatur Meinekius. quanam in fabula Phrynichus id fecerit incertum est.

72

Schol. Aristoph. Nub. 967 Φρύνιχος δὲ αὐτοῦ τούτου τοῦ ᾄσματος μνημονεύει ὡς Λαμπροκλέους ὄντος· Παλλάδα περσέπτολιν κληίζω πολεμαδόκον ἁγνάν, παῖδα Διὸς μεγάλου. de carmine ipso cf. quae Dindorfius ad scholia adnotavit et Bergk. in Poet. lyr. Lamprocl. fr. 1.

73

ἐπήκοος γενοῦ

ἐν εὐχῇ, παρὰ Φρυνίχῳ τῷ κωμικῷ. Pollux 2, 82. *γενοῦ*] *πάνυ* A.

74

μισθώτριαι αἱ γυναῖκες

ὡς Φρύνιχος. Pollux 7, 131.

75

ἀπόβλεμμα

ἔστι δὲ ἐκ τοῦ βλέπειν . . . παρὰ Φρυνίχῳ τῷ κωμικῷ. Pollux 2, 56.

76

αὐχμᾷς

Pollux 2, 34 *αὐχμεῖν . . . καὶ αὐχμᾶν. Φρύνιχος δὲ ὁ κωμικὸς αὐχμᾷς ἔφη.* ante Bekkerum *αὐχμᾶς*, de quo nomine cf. Lobeck. Phryn. 433 sq. participium *αὐχμῶντα, ὡς ἀπὸ δευτέρας συζυγίας τῶν περισπωμένων* (Bekker. Anecd. 7, 25), etiam aliunde cognitum.

77

τὴν κοιλοφθαλμίαν

Φρύνιχος ὁ κωμικὸς εἴρηκε. Pollux 4, 185. *συμβαῖνον κοιλαίνεσθαι τοὺς ὀφθαλμοὺς ἐξ ἄλλου νοσήματος* 4, 184.

78

μελλονύμφιος

ὁ μέλλων γαμεῖν (Meinek. *μελλόνυμφος*) *ὑπ' ἐνίων ἐκλήθη, ὡς ὑπὸ Φρυνίχου τοῦ κωμικοῦ.* Pollux 3, 45.

79

νωδός

ὁ μὴ ἔχων ὀδόντα, ὡς . . . Φρύνιχος ὁ κωμικός. Pollux 2, 96.

ΑΜΦΙΣΒΗΤΗΣΙΜΑ

80

ὦ φίλτατ' ἀνδρῶν, μή μ' ἀτιμάσας γένῃ.

Priscianus 18, 201 *participia pro verbis ponunt Attici, quod frequenter faciunt Latini . . . Φρύνιχος ὦ — γένῃ, pro μή με ἀτιμάσῃς.* cum nominibus verbum *γίγνεσθαι* in paraphrasi saepe con-

iungitur etiam apud comicos. cf. Aristoph. Vesp. 729. Pac. 148. 390. Eccl. 120. 200, cum participiis haud raro apud tragicos, ut Sophocl. Ai. 588. OR. 957. Philoct. 773, cf. etiam Plat. Sophist. 217 b, ibique Heindorf., Leg. 10, 908 b; apud comicos non item (cf. Herwerden. Obs. crit. 28): nam Aristoph. Ach. 451 *γενοῦ γλίσχρος παραιτῶν* participium non cum *γενοῦ* coniungendum est. itaque miror Nauckium comico Phrynicho haec tribuentem, quae sine dubio tragici sunt. etiam *ἀτιμάζειν* semel apud comicos quod sciam legitur, Aristoph. Nub. 1121.

81

ἐγὼ δέ, μισεῖ γάρ μ', ἄπειμ' ἐξ ὀμμάτων.

Zonaras 757 *ἐξ ὀφθαλμῶν οὐ λέγουσιν, οὐδ' ἐκ προσώπου. Φρύνιχος κτλ. ἄπειμι*] *ἄμειμι* apud Tittmann. 'K *ἄμειμοι.*' non tragici videri, sed comici Nauckius pronuntiavit Trag. gr. fr. XI. at nomine *ὄμμα* comici poetae non utuntur nisi in melicis carminibus et *παρατραγῳδοῦντες* (Aristoph. Eccl. 1 et Ach. 1184, quem versum spurium esse iudicat Meinekius). itaque dubia res est.

82

ἀθύρωτον στόμα

οὕτως ἀθύρωτον, οὐκ ἀπύλωτον. Ἀριστοφάνης Βατράχοις (838) *καὶ Φρύνιχος.* Suidas. cf. idem *ἀπύλωτον.* 'Phrynichum grammaticum intellegere praestat.' Meinek.

83

ἀκίβδηλος ἀνήρ

ὁ μὴ κίβδηλος, ἀλλὰ δόκιμος καὶ πολλοῦ ἄξιος. οὕτω Φρύνιχος. Bekker. Anecd. 371, 22.

84

ἄκομψον καὶ φαῦλον

οἷον κομψείας καὶ πανουργίας ἀπηλλαγμένον. οὕτω Φρ. Bekker. Anecd. 308, 31. cf. 6, 19.

85

ἀκρατὴς γάμων

σεμνὸς καὶ εὐπρεπὴς ὁ λόγος ἐπὶ γυναικὸς τιθέμενος ἀκολάστου καὶ μοιχικῆς. οὕτω Φρ. Bekker. Anecd. 369, 22. cf. 28, 24.

86

ἀκροτελεύτιον ἔπος

τὸ ἔσχατον κεφαλαίου τινὸς ποιητικῶς. κυρίως γὰρ ἀκροτελεύτια ἐπὶ ποιημάτων τεθέασιν Ἀττικοί. οὕτω Φρ. Bekker. Anecd. 369, 31.

87

ἀγῆλαι

Schol. Eur. (ABI) Med. 1027 *Φρύνιχος ἀγ. ἀντὶ τοῦ εὔξασθαι.* cf. Eupol. 119. cum exempla quae in scholio proxime sequuntur comicorum sint, grammaticum certe significari non credo. sed potest excerptum esse ex tragico.

88

ἀκροσφαλές

σημαίνει τὸ ἄκρως σφαλερὸν καὶ μὴ δυνάμενον παγίως ἐν ἀσφαλεῖ εἶναι. οὕτω Φρ. Bekker. Anecd. 367, 18. cf. 20, 4.

89

ἄνοις

ἀντὶ τοῦ ἀνύοις. Φρύνιχος. Bekker. Anecd. 406, 9.

90

ἴδριδες

Φρύνιχος τὴν εὐθεῖαν. Schol. Hom. Iliad. 3, 219. Herodian. II 40, 35. 701, 11.

91

σφηκῶσαι

τὸ δῆσαι. οὕτως Φρύνιχος. Photius.

92

τριάκοντα

πρῶτοι μὲν οἱ κατὰ πόλιν δικασταί· δεύτεροι οἱ κατὰ δήμους τριάκοντα, τῆς ἐκκλησίας ἐπιμελούμενοι μετὰ τῶν ληξιάρχων. οὕτως Φρύνιχος. Photius.

93

φανόν

λευκόν, λαμπρόν. οὕτως Φρ. Photius.

94

ψέλια

τὰ (ἐν) τοῖς πήχεσιν, οὐ μόνον (τὰ) στρεπτά. Φρύνιχος. Bekker. Anecd. 116, 26. ad tragicum rettulit Blomfield. Aesch. Pers. praef. IIII.

95

ψόθος

ἀκαθαρσία. οὕτως Φρύνιχος. Photius.

ΑΡΙΣΤΟΦΑΝΗΣ

ΑΙΟΛΟΣΙΚΩΝ

Argument. Aristoph. Plut. II *τελευταίαν δὲ διδάξας τὴν κωμῳδίαν ταύτην (Πλοῦτον) ἐπὶ τῷ ἰδίῳ ὀνόματι καὶ τὸν υἱὸν αὐτοῦ συστῆσαι Ἀραρότα τοῖς θεαταῖς βουλόμενος τὰ ὑπόλοιπα δύο δι' ἐκείνου καθῆκε, Κώκαλον καὶ Αἰολοσίκωνα.* acta igitur est post Ol. 97, 4, ante Ol. 101. cf. Bergk. Platonius XIII 28 Duebn. *ἐπέλιπον οἱ χορηγοὶ . . . τὸν γοῦν Αἰολοσίκωνα Ἀριστοφάνης ἐδίδαξεν, ὃς οὐκ ἔχει τὰ χορικὰ μέλη.* et 38 *Αἴολον τὸ δρᾶμα τὸ γραφὲν τοῖς τραγῳδοῖς διασύρει. τοιοῦτος οὖν ἐστιν ὁ τῆς μέσης κωμῳδίας τύπος, οἷός ἐστιν ὁ Αἰολοσίκων Ἀριστοφάνους καὶ οἱ Ὀδυσσεῖς Κρατίνου.* chorus erat mulierum. cf. fr. 10.

titulus comoediae compositus est ex nominibus *Aeoli* Homerici, cuius liberorum incestum Euripides tractaverat (cf. Nauck. Tr. gr. fr. p. 291 et Aristoph. Nub. 1371. Ran. 850), et *Siconis*, coquorum quasi ἀρχηγοῦ. cf. Sosipat. 13 sq. eorum enim usus post bellum Peloponnesiacum invaluit; primam eorum mentionem facit Philyllius fr. 10. cf. Athen. 14, 658 f. Meinek. IIII 514. 5, erant autem liberi et e macello conducebantur. Liban. Epist. 420 p. 215 *φρονεῖ μὲν μεῖζον Ἀλκιβιάδου, ποιεῖ δὲ τὰ Σίκωνος· ὅ τι δὲ οὗτος ἕδρα, τὸν Ἀριστοφάνην ἐροῦ.* videtur poeta antiquam de Aeolo fabulam ita tractavisse, ut suae simul aetatis luxuriam libidinesque traduceret. nomina similia sunt (cf. Grauert. Mus. Rhen. Nieb. II 50 et 499 sq.) *Ἡρακλειοξανθίας, Διωνυσαλέξανδρος, Οἰδιποθυέστης* (M. Terentii Varronis), *Θουριοπέρσαι, Δημοτυνδάρεως, Δημοσάτυροι, Τιτανόπανες, Μυρμηκάνθρωποι* cet. cf. etiam Cobet. Obs. crit. 53. 4. ceterum duplex fabulae editio exstitit: cf. quae adnotavimus ad fr. 5.

1

ἥκω Θεαρίωνος ἀρτοπώλιον
λιπών, ἵν' ἐστὶ κριβάνων ἑδώλια.

Athenaeus 3, 112 e *οὗτός ἐστι Θεαρίων ὁ ἀρτοποιός, οὗ μνημονεύει . . . Ἀριστοφάνης ἐν Γηρυτάδῃ καὶ Αἰολοσίκωνι διὰ τούτων κτλ.*

eisdem in utraque fabula videtur usus esse versibus. confert Bergkius Vesp. 1030 sq. Pac. 752. 754 sq. Eq. 155. Pac. 886. inridet Eurip. Hec. 1 ἥκω νεκρῶν κευθμῶνα καὶ σκότου πύλας λιπών, ἵν' Ἅιδης χωρὶς ᾤκισται θεῶν. Plat. Gorg. 518 b Θεαρίων ὁ ἀρτοκόπος (ἀρτοπόπος) καὶ Μίθαικος ὁ τὴν ὀψοποιίαν συγγεγραφὼς ... καὶ Σάραμβος ὁ κάπηλος ... θαυμάσιοι γεγόνασι σωμάτων θεραπευταί, ὁ μὲν ἄρτους θαυμασίους παρασκευάζων, ὁ δὲ ὄψον, ὁ δὲ οἶνον. cf. Antiphan. 175, 7. Aristid. 45 p. 114. 145. 46, p. 164. 200. 202. 265. 386 Dind. Iacobs. Addit. Athen. 72. Heindorf. Plat. Gorg. p. 246.

2

ἀλλ' ἄνυσον· οὐ μέλλειν ἐχρῆν, ὡς ἀγοράσω
ἁπαξάπανθ', ὅσ' ἂν κελεύῃς, ὦ γύναι.

Bekk. Anecd. 331, 24 et Suidas ἀγοράσαι· ἀγοράσαι λέγουσι, τὸ δ' ἀγορᾶν βάρβαρον, παραδειγμάτων δὲ μεστὰ πάντα, εἰλήφθω δ' ὅμως Ἀριστοφάνους ἐξ Αἰολοσίκωνος (nomen fab. om. Anecd. Bekk.) κτλ. ὅσ' ἂν κελεύῃς Bekker.] ὅσα κελεύεις. Bekker. Anecd. 20, 6 (cf. 78, 8) ἀγοράζειν· καὶ τὸ ὠνεῖσθαι καὶ τὸ ἐν ἀγορᾷ διατρίβειν (Aristoph. Eq. 1373). videtur ipse Aelosicon loqui ad cenam adparandam discedens.

3

ὅπερ δὲ λοιπὸν μόνον ἔτ' ἦν ἐν τῇ γνάθῳ
διώβολον, γεγένητ' ἐμοὶ δικόλλυβον.

Pollux 9, 63 ἔστι δὲ καὶ τὸ διώβολον ἐν Αἰολοσίκωνι Ἀριστοφάνους κτλ. 1. δὲ et ἔτ' add. Bergk. 2. γεγένητ' ἐμοὶ δικόλλυβον Bergk.] γένηταί μοι, quibus F addit ἰδικολλοικόν. de duobus obolis duo asses sibi superesse Sicon ut videtur queritur. Pollux 9, 72 ἔλεγον δέ τι καὶ τρικόλλυβον οἱ ποιηταὶ σμικρὸν νόμισμα. Hesych. τρικόλλυβον· νομισμάτιόν τι. Eupol. 233, 3. Aristoph. Vesp. 789 sq.

4

καὶ μὴν τὸ δεῖν', ἀκροκώλια δή σοι τέτταρα
ἥψησα τακερά.

Athenaeus 3, 95 e ἀκροκωλίων δὲ μέμνηται Ἀριστοφάνης Αἰολοσίκωνι κτλ. δή Bergk.] δέ. γέ Brunck. ἀκροκώλι' ἅ γε Porsonus, non probante Elmsl. Quarterly rev. VII 462. fort. ἀκροκώλι' ἰδού σοι.

5

τῶν δὲ γηθύων
ῥίζας, ἐχούσας σκοροδομίμητον φύσιν

Athenaeus 9, 372 a *μνημονεύει τῶν γηθυλλίδων καὶ Ἐπίχαρμος ἐν Φιλοκτήτῃ οὕτως· ἐν δὲ σκόροδα δύο καὶ γαθυλλίδες δύο· καὶ Ἀριστοφάνης Αἰολοσίκωνι δ ε υ τ έ ρ ῳ· τῶν δὲ κτλ. σκοροδομίμητον* Toup. Emend. I 15] *σκοροδόμητον. σκοροδόμιμον τὴν* Fritzschius. pro *δευτέρῳ τῶν δὲ* scribens *δεύτερον δὲ* et haec poetae verbis addens fr. 4 et 5 coniunxit G. Hermannus Ephem. litt. Lips. 1829. cf. Grauert Mus. Rhen. Nieb. II 500. accederem, nisi scrupulum iniceret Schol. Hephaest. Gaisf.[2] p. 56 in adn. *Α ἰ ο λ ο σ ί κ ω ν γέγονε π ρ ῶ τ ο ν καὶ δ ε ύ τ ε ρ ο ν Ἀριστοφάνους, ὡς καὶ ὁ Πλοῦτος πρῶτον καὶ δεύτερον.* accedit nunc multo postquam quae antecedunt scripsi index cod. Ambros. Novati (Herm. XIIII 464), in quo commemoratur *Αἰολοσίκων β'*, i. e. Aeolosicon bis editus. ac de duplici Aeolosiconis commissione cogitabat iam Dindorfius. etiam fr. 4. 5 loqui videtur Sicon.

6

κοιτὼν ἁπάσαις εἷς, πύελος δὲ μί' ἀρκέσει.

Pollux 1, 79 *κοιτών, εἰ γὰρ καὶ Μένανδρος αὐτὸ βαρβαρικὸν οἴεται, ἀλλ' Ἀριστοφάνης τὰ τοιαῦτα πιστότερος αὐτοῦ, εἰπὼν ἐν Αἰολοσίκωνι κτλ.* omnibus filiabus unam domum, unum balneum Aeolus adsignavisse dicitur. quae de domestica Aeoli vita narravit Homerus (Od. 10, 8. 9), in sordidam parsimoniam detorquet Aristophanes. eiciendum videtur *δέ*.

7

δοίδυξ, θυῖα, τυροκνῆστις, ἐσχάρα.

Pollux 10, 104 *τυροκνῆστις ἔστιν . . . ἐν Ἀριστοφάνους Αἰολοσίκωνι κτλ.* coqui vasa enumerantur ut Aristoph. Vesp. 938. *θυῖα* semper Bekkerus et Meinekius (cf. ed. min. X), apud Aristophanem plerumque *θυεία*. cf. Lobeck. Phryn. 165. Pathol. el. II 27. Bekker. Anecd. 40, 15 *ἐσχάρα· τὸ σκεῦος, ἐφ' ᾧ ὀπτᾶται κρέας ἢ ἰχθύς.* cogitanda est ambulatoria, ut Ach. 888. Strattid. 55. Diphil. Polluc. 10, 18.

8

καὶ διαστίλβουθ' ὁρῶμεν
ὥσπερ ἐν καινῷ λυχνούχῳ
πάντα τῆς ἐξωμίδος.

Pollux 10, 116 *ἐν δὲ τῷ Ἀριστοφάνους Αἰολοσίκωνι κτλ.* Athenaeus 15, 699 f, ubi cf. quae Dindorfius adnotavit p. 1561 ed. suae. *καινῷ* Salmasius] *κενῷ*. versus digessit Dindorfius. Bekker. Anecd. 50, 23 *λυχνοῦχος . . . σκεῦός τι ἐν κύκλῳ ἔχων κέρατα, ἔνδον δὲ λύχνον ἡμμένον, διὰ τῶν κεράτων τὸ φῶς πέμποντα* (Bergk.).

Photius *λυχνοῦχον· τὸν κεράτινον φανόν . . . ἐγίνοντο δὲ καὶ . . . κεραμεοῖ διατετρημένοι ὥστε διαφαίνειν. οὕτως Ἀριστοφάνης.* 'ut e lucerna flamma, sic ex veste perlucebat mulierculae pulchritudo'.

9

καί κ' ἐπιθυμήσειε νέος νῆς ἀμφιπόλοιο.

Herodianus I 405, 10. II 912, 4 *ἡ νέα νῆ εἰρημένον . . . παρὰ Ἀριστοφάνει ἐν Αἰολοσίκωνι κτλ. καί κ'* Dindf.] *καὶ. Αἰολοσίκωνι* Dindf.] *δινσίλλωνι.* ex oraculo de incesto illo fratris sororisque amore Bergkio versus videtur excerptus esse.

10

οὐκ ἐτός, ὦ γυναῖκες,
πᾶσι κακοῖσιν ἡμᾶς
φλῶσιν ἑκάστοθ' ἄνδρες·
δεινὰ γὰρ ἔργα δρῶσαι
λαμβανόμεσθ' ὑπ' αὐτῶν.

Hephaestio 9, 3 *τὰ δὲ εἰς τὸν ἀμφίβραχυν ἢ βακχεῖον, δίμετρα μέν, τὰ ἐξ Αἰολοσίκωνος Ἀριστοφάνους κτλ. ἑκάστοθ' ἄνδρες* Dindf.] *ἑκάστοτ' ἄνδρες.* versus est Aristophaneus, ut *Lydia, dic, per omnes.* de sententia cf. Thesm. 476 sq. delevi Bergkii personarum notationes et interrogationem post *ἄνδρες.* loquitur enim unus chorus. *οὐκ ἐτός* sic Ach. 411. 413. Av. 915. Thesm. 921. Eccl. 245. Plut. 404. 1166. Plat. Reip. 3, 414e. 8, 568a. neque usquam aliter.

11

καὶ δι' ὀπῆς κἀπὶ τέγους

Pollux 10, 25 *ἡ δὲ ὀπὴ εἴρηται ἐν Αἰολοσίκωνι Ἀριστοφάνους κτλ.* metrum videtur choriambicum. de sententia Grauertus confert Xenarch. 4, 11. 12.

12

Schol. Pac. 741 *Ἀριστοφάνης ὡς γαστρίμαργον τὸν Ἡρακλέα κωμῳδεῖ καὶ ἐν Ὄρνισι καὶ ἐν Αἰολοσίκωνι.* Hercules ipse, ut in Avibus, sic etiam in Aeolosicone in scaenam inductus esse videtur, in nuptiis opinor Macarei et Canaces.

13

Athenaeus 7, 276c *τῶν δὲ παρόντων γραμματικῶν τις ἀποβλέψας εἰς τὴν τοῦ δείπνου παρασκευὴν ἔφη, εἶτα πῶς δειπνήσομεν τοσαῦτα δεῖπνα; ἴσως διὰ νυκτός, ὡς ὁ χαρίεις Ἀριστοφάνης ἐν*

Αἰολοσίκωνι εἶπεν, οὕτως λέγων οἱονεὶ δι' ὅλης νυκτός. convivium dicit in Aeolosicone per totam noctem continuari.

14

δυοῖν λυχνιδίοιν

Pollux 10, 118 *ὅταν εἴπῃ ἐν τῷ Αἰολοσίκωνι Ἀριστοφάνης . . . δῆλον ὅτι λυχνία εἴρηκεν, ἀλλ' οὐ λύχνους μικρούς.* itaque *ι* producitur ut in *οἰκίδιον* al. cf. fr. 281. Pollux 10, 15 *λύχνιον, ἐφ' οὗ ἐντίθεται ὁ λύχνος.*

15

ἀκερματίαν

Pollux 9, 89 *ἐν . . . τῷ Αἰολοσίκωνι τὸ μὴ ἔχειν κέρματα ὠνόμασεν (ἡ ἀκερματία)* non opus est Fritzschii emendatione *ἀκερματιᾶν.*

16

κλειδίον

παρὰ Ἀριστοφάνει ἐν Αἰολοσίκωνι. Pollux 10, 24. *κληδίον* Dindf.

17

σμηματοφορεῖον

ἐν Ἀριστοφάνους Αἰολοσίκωνι. Pollux 10, 127.

Praeterea ad Aeolosiconem fr. 695 refert Dindorfius propter metri similitudinem cum fr. 10, fr. 684 Bergkius.

ΑΜΦΙΑΡΕΩΣ

Sic enim cum Dindorfio titulus scribendus est, non *Ἀμφιάραος.* Argument. Av. II *ἐπὶ Χαβρίου* (Ol. 91, 2) *τὸ δρᾶμα (τοὺς Ὄρνιθας) καθῆκεν εἰς ἄστυ διὰ Καλλιστράτου, εἰς δὲ Λήναια τὸν Ἀμφιάραον ἐδίδαξε διὰ Φιλωνίδου,* eo anno quo comoediae libertas lege Syracosii coercita erat. nomen fabula accepit ab Amphiarao heroe, cuius oraculum fontemque prope Oropum in confinio Atticae Boeotiaeque situm aegroti potissimum adibant. Paus. 1, 34, 1. 3. 4. 5. Herod. 8, 134. Bursian. Geogr. gr. I 220. 1. Boeckh. C. I. I 1570. Aristophanes senem *δεισιδαίμονα ἐν τοῖς μάλιστα,* qui de salute desperat, cum uxore ad Amphiaraum confugientem facit et robur iuvenile recuperantem. populum Atheniensem significari arbitratur Bergkius, minus recte mea sententia Niciam Suevernius De Avibus 58. 9 et Cobetus Obs. crit. 42.

18

Α. γύναι, τί τὸ ψοφῆσάν ἐσθ'; Β. ἀλεκτρυὼν τὴν κύλικα καταβέβληκεν. Α. οἰμώζουσά γε.

Schol. Nub. 663 ἐν ἔθει ἦν τότε καὶ τὴν θήλειαν ἀλεκτρυόνα καλεῖν· σαφὲς δὲ γίνεται ἐν Ἀμφιαράῳ κτλ. οἰμώζουσα] οἰμώξουσα Brunckius. at futurum semper est οἰμώξομαι. ἐσθ'; ἀλεκτρυὼν Brunck.] ἐστίν; ἡ ἀλεκτρυών. ἦν; Cobetus Obs. crit. 80 adn. 1. 'nam senex qui miserat uxorem exploratum quid strepuisset *revertentem* sic adloquitur'. at id iam indicatur participio aoristi. recte '*quid est quod strepuit?*'

19

καὶ νὴ Δί' ἐκ τοῦ δωματίου γε νῷν φέρε κνέφαλλον ἅμα καὶ προσκεφάλαιον τῶν λινῶν.

Herodianus I 319, 18. II 348, 10. 944, 23 τύλη ὅπερ σύνηθες Ἀττικοῖς κνέφαλλον καλεῖν, ὁμωνύμως τῷ περιεχομένῳ τὴν περιέχουσαν. Ἀριστοφάνης Ἀμφιάρεῳ κτλ. Pollux 10, 40 ἐν δὲ Ἀμφιάρεῳ Ἀριστοφάνους κνέφαλλον — τῶν λινῶν· δηλονότι ὡς καὶ σκυτίνων καὶ ἐρεῶν γιγνομένων. καὶ νὴ Δί' ἐκ — γε νῷν Dindorf.] καινὴ διὲκ — γένων. Bergkius scaenam suspicatur similem esse Lysistr. 916—930. at potuit senex haec uxori dicere, postquam aegrotus et fessus ex itinere ad Amphiarai sacellum pervenit.

20

νόσῳ βιασθεὶς ἢ φίλων ἀχηνίᾳ;

Suidas ἀχηνία· ἀπορία, πενία, Ἀριστοφάνης Ἀμφιαράῳ κτλ. Bekker. Anecd. 474, 7 ἀχηνία· ἀπορία, πενία. Ἀριστοφάνης οὕτως εἴρηκεν. Hesych. ἀχηνία· ἀπορία, ἀπὸ τοῦ μὴ ἔχειν (!). καὶ οἱ πένητες ἀχῆνες. cf. Blomfield. Gloss. Aesch. Ag. 408. verba quae sacerdotis esse videntur causam adventus sciscitantis, tragicam prae se ferunt gravitatem et fortasse ad Euripidis inrisionem composita sunt.

21

ἀλλ' ὦ θύγατερ, ἔλεξ', Ἰασοῖ, πρευμενής —

Schol. Plut. 701 προσῆκε τῷ Ἀσκληπιῷ ἡ Ἰασὼ παρὰ τὴν ἴασιν ὠνομασμένη· ἀλλὰ καὶ θυγατέρα τοῦ Ἀμφιαράου αὐτὴν εἶπεν ἐν ἐκείνοις· ἀλλ' κτλ. Hesychius Ἰασὼ παρὰ τὸ ἰᾶσθαι. φησὶ δὲ Ἀριστοφάνης καὶ Ἀμφιαράου θυγατέρα εἶναι Ἰασώ. ἔλεξ' Ἰασοῖ Seidlerus] ἔλεξά σοι. dubitari non potest quin ad Amphiaraum haec pertineant. Ἰασοῖ vocativus casus est, in fine sententia abrupta. scaena similis videtur fuisse Plut. 701 sq.

22

ἔπειτ' ἔρειξον ἐπιβαλοῦσ' ὁμοῦ πίσους.

Pollux 7, 181 *Ἀριστοφάνης ἐν Ἀμφιαράῳ φησίν κτλ.* idem 6, 60 *Ἀριστοφάνης δὲ καὶ πληθυντικῶς λέγει τοὺς πίσους. ἔρειξον* Bergk.] *ἔρειξεν ὡς. πίσους*] *πισοῖς* F, unde *πίσοις* Fritzschius. non recte. *πίσους* pendet ab *ἐπιβαλοῦσα*, *ὁμοῦ* autem haud raro casu caret. Eq. 214. 245. 431. Pac. 899. Av. 220. 771. 1332. Ran. 1506. Herodian. I 205, 31 (cf. II 574, 29) *πίσος τὸ ὄσπριον. φακῆν* poscere senem opinatur Bergkius, conl. Vesp. 812 sq.

23

ὅστις φακῆν ἥδιστον ὄψων λοιδορεῖς.

Athenaeus 4, 158 c *Ἀριστοφάνης . . . ἐν Ἀμφιαράῳ κτλ. ὄψων*] *ὄψον* P et Eustath. 1572, 51 *φακέα φακῆ τὸ κατά τινα παλαιὸν ἥδιστον ὄψον*. ac sic Herwerdenus Obs. crit. 58 aut *ἥδιστον ὄψον* aut *ἡδίστην ὄψων* dicendum fuisse adfirmans. scilicet non licuit dicere Isocrati *σοφία μόνον τῶν κτημάτων ἀθάνατον*, neque Euripidi *ἀρετὴ μέγιστον τῶν ἐν ἀνθρώποις καλῶν.*

24

πόθεν ἂν λάβοιμι βύσμα τῷ πρωκτῷ φλέων;

Schol. Ran. 244 et Suidas *φλέων· φλέως λοχμῶδες φυτόν . . . μέμνηται αὐτοῦ καὶ ἐν Ἀμφιαράῳ κτλ.* Bekker. Anecd. 70, 23 *φλέως δισυλλάβως τὸ φυόμενον ἐν τοῖς ἕλεσι φυτόν.* cf. quae ad Ran. 244 adnotavimus. *βῦσμα* Dindf. in Poet. scen. ed. noviss. Pac. 521 *πόθεν ἂν λάβοιμι ῥῆμα μυριάμφορον;* — haec quoque ad senem misere adfectum pertinere censet Bergkius, conferens Vesp. 122.

25

ταυτὶ τὰ κρέ' αὐτῷ παρὰ γυναικός του φέρω.

Photius et Suidas *τοὺ καὶ ἐπὶ τοῦ θηλυκοῦ τάττεται, ὥσπερ τὸ τινός. Ἀριστοφάνης Ἀμφιάρεῳ κτλ. του*] *οὐ* V Suid. quis haec dicat prorsus incertum est.

26

ὦ μιαρὲ καὶ Φρυνῶνδα καὶ πονηρὲ σύ

Suidas *Φρυνώνδας· τῶν ἐπὶ πονηρίᾳ διαβεβοημένων, ὃς ξένος ὢν κατὰ τὰ Πελοποννησιακὰ διέτριβεν Ἀθήνησιν. Ἀριστοφάνης Ἀμφιάρεῳ κτλ.* cf. Eupol. 39. Plat. Protag. 327 d. Isocr. 18, 57. Aeschin. 3, 137. Schol. Aeschin. p. 45 a 22 ed. Turic. Schol. Vind. Lucian. Alex. 4 admodum incerta sunt quae Bergkius de his disputat. offendit vocalis correpta in vocativo formae doricae.

27

Λαμπτρεὺς ἔγωγε τῶν κάτω.

Harpocratio *Λαμπτρεῖς· Λαμπτραὶ δῆμος τῆς Ἐρεχθηίδος . . . δύο δέ εἰσι Λαμπτραί, αἱ μὲν παράλιαι, αἱ δὲ καθύπερθεν. Ἀριστοφάνης Ἀμφιάρεῳ κτλ. Λαμπρεὺς* BCN. cf. Bursian. Geogr. gr. I 358. Bergkio si credimus, senex haec dicit, ubi ad fanum Amphiarai pervenit. mihi in voce *κάτω* poeta ludere videtur, ut simul etiam inferos significet. *ἔγωγε*, i. e. *εἰμί*. — fortasse nescio quae species seni somnianti venerat. nam per somnum potissimum Amphiaraus medendi rationem indicabat. Herod. 8, 134.

28

καὶ τοὺς μὲν ὄφεις, οὓς ἐπιπέμπεις,
ἐν κίστῃ που κατασήμηναι
καὶ παῦσαι φαρμακοπωλῶν.

Pollux 10, 180 *κίσται . . . καὶ αἱ τῶν φαρμακοπωλῶν ἂν καλοῖντο, ὡς ἐν Ἀμφιάρεῳ Ἀριστοφάνης κτλ.* Amphiaraum adpellari consentaneum est, sed a quo et qua occasione oblata id fiat, prorsus incertum. *κατασημήνασθαι* i. e. clauso cistae operculo et obsignato adservare. Plat. Menon. 89b *ἐφυλάττομεν . . . κατασημηνάμενοι πολὺ μᾶλλον ἢ τὸ χρυσίον.* cf. Leg. 6, 765c et e. 11, 937b.

29

ὀσφὺν δ' ἐξ ἄκρων διακίγκλισον ἠΰτε κίγκλου
ἀνδρὸς πρεσβύτου· τελέειν δ' ἀγαθὴν ἐπαοιδήν.

Aelianus H. an. 12, 9 *κινεῖ δὲ (ὁ κίγκλος) καὶ τὰ οὐραῖα πτερά . . . μέμνηται δὲ καὶ τοῦ ὄρνιθος τοῦδε Ἀριστοφάνης ἐν τῷ Ἀμφιαράῳ λέγων κτλ.* Photius *κίγκλος· ὄρνεον τὴν ὀσφὺν πολλὰ κινοῦν· ὅ τινες σεισοπυγίδα καλοῦσιν.* Hesychius *διακίγκλισον· διάσεισον. κίγκλος δὲ ὄρνεον ἢ σεισοπυγίς.* cf. Autocr. 1, 9. 2. *τελέειν* Bergk.] *τελέει.* cf. Eq. 1039. Nub. 850. Vesp. 386. 1216. Ran. 133. videtur ipsius Amphiarai edictum esse. v. 1 perperam Bergkius *κίγκλος*, quamquam adsentitur Hercherus in Aeliano: nam non suam senex, sed mulier senis coxam quassare iubetur, scilicet ut senex repuerascat. sed quid hic sit *ἐξ ἄκρων* non intellego. videtur scripsisse *ἐξ ἁρμῶν*. Pollux 2, 94. Eurip. fr. 362, 12 N. *ἁρμὸς πονηρὸς ὥσπερ ἐν ξύλῳ παγείς.* Tim. Locr. 102b *λυομένων τῶν ἁρμῶν τᾶς συστάσιος.* Herm. ap. Stob. Flor. 120, 27 *τῶν ἁρμῶν τοῦ σώματος.* Eurip. Med. 1315 *ἐκλύεθ' ἁρμούς* (ianuae).

30

οἶδα μὲν ἀρχαῖόν τι δρῶν κοὐχὶ λέληθ' ἐμαυτόν.

Hephaestio 9, 5 *παρὰ δὲ Ἀριστοφάνει ἐν Ἀμφιάρεῳ· κτλ.* me-

trum est idem atque Eupol. 159. loquitur chorus in parabasi ex poetae persona significans antiquiorem consuetudinem in his temporibus se repetere. cf. Bergk. et Cobet. Obs. crit. 46. 7.

31

ἀφ' οὗ κωμῳδικὸν μορμολυκεῖον ἔγνων.

Schol. Pac. 474 *τὰ προσωπεῖα τὰ αἰσχρὰ μορμολυκεῖα, καὶ τὰ τραγικὰ καὶ τὰ κωμικά· καὶ ἐν Ἀμφιαράῳ κτλ.* i. e. *a quo tempore artem comicam exerceo.* initio trochaeus deest, fortasse *καὶ γάρ.* ad eandem parabasin pertinet ac fr. 30.

32

ἀκραιφνὲς ὕδωρ

Athenaeus 3, 104 e *περισπούδαστος δὲ ἦν πολλοῖς ἡ τοῦ καράβου βρῶσις . . . ἀρκέσει δὲ τὰ νῦν Ἀριστοφάνης ἐν ταῖς Θεσμοφοριαζούσαις οὕτως λέγων κτλ.* idem 7, 324 b *Ἀριστοφάνης Θεσμοφοριαζούσαις· ἰχθῦς ἐώνηταί τις ἢ σηπίδιον. ἰχθὺς* Fritzschius. Etymol. m. 439, 42 *Ἀριστοφάνης ἠτριαῖον λέγει ἐν Θεσμοφοριαζούσαις. ἐώνηταί τις* 324 b] *τις ἐώνηται* 104 e. 2. *πουλύπους*] *πολύπους* A. 4. *οὔ φημ'* Porsonus] *οὐδὲ φήμ'. οὐδ' ἦμ'* Bergkius. at *ἠμί* interpositum modo sermoni invenitur. 5. *οὐ χόριον* Porson.] *οὐδὲ χόριον. οὐδὲ χόρι'* Fritzschius Thesm. p. 594. 6. *οὐδὲ* Brunck.] *οὐ δή.* 7. *μέγαν*] *μέγα* A. 8. *ἐπεχορηγήσατε* Meinek. Anal. crit. Ath. 47] *ἐπεκουρήσατε.* rectissime: nam postquam scriptum est *ἐπεχορήσατε*, id facillime mutabatur in *ἐπεκουρήσατε.* cf. fr. 551. Anaxipp. 1, 35. frustra Herwerdenus Nov. add. crit. 17 *οὐδὲ κάραβον; μέγα γυναιξὶ κοπιώσαισί γ' ἐπεκουρήσατε*, quae per ironiam efferri vult. in carabis enim potissimum magnitudinem admirabantur. cf. Athen. 3, 104 c d. loquitur mulier quae Lysistra-

tae instar quasi principatum tenet sodalicii. *fessae* autem mulieres erant diuturno ieiunio choreisque ante actis.

319

ὦ Ζεῦ πολυτίμηθ', οἷον ἐνέπνευσ' ὁ μιαρὸς
φάσκωλος εὐθὺς λυόμενός μοι τοῦ μύρου
καὶ βακκάριδος.

Athenaeus 15, 690 d *παρὰ πολλοῖς τῶν κωμῳδιοποιῶν ὀνομάζεταί τι μύρον βάκκαρις . . . Ἀριστοφάνης ἐν Θεσμοφοριαζούσαις κτλ.* Pollux 10, 137 *ἵνα δὲ ἀποτίθενται αἱ ἐσθῆτες . . . φάσκωλοι, ὡς ἐν Θεσμοφοριαζούσαις.* Harpocratio *φάσκωλον* (*φάσκωλος δὲ* Fritzsch.) *πήρα τις οὕτως ἐκαλεῖτο παρ' αὐτοῖς . . . Ἀριστοφάνης Θεσμοφοριαζούσαις.* Erotianus 59, 8 Klein. *βάκχαρις· εἶδος βοτάνης καὶ μύρου, οὗ καὶ Ἀριστοφάνης μέμνηται.* Photius *φασκώλιον· ἱματιοφορεῖον* (sic Porsonus)*· φάσκωλον δέ ἐστι μαρσίππιον.* Pollux 7, 79 *καὶ φασκώλους δὲ ἔλεγον οἱ παλαιοὶ τὰ τῶν ἱματίων ἀγγεῖα καὶ θυλάκους.* *ἐνέπνευσ'* Dobr. Addend. Arist. 105 (multo ante Cobetum N. l. 57)] *ἔπνευσ'.* *ἔπνευσεν* Brunckius, caesura pessima. 2. *λυόμενος* Dalecampius] *λουόμενος.* Hesych. *βάκκαρις· μύρον ποιὸν ἀπὸ βοτάνης ὁμωνύμως. ἔνιοι δὲ ἀπὸ μυρσίνης. ἄλλοι δὲ μύρον Λύδιον. ἔστι δὲ καὶ ξηρὸν διάπασμα τὸ ἀπὸ τῆς ῥίζης. ὁ μιαρός* per iocum dicit.

320

Α. ξυρόν, κάτοπτρον, ψαλίδα, κηρωτήν, λίτρον,
προκόμιον, ὀχθοίβους, μίτρας, ἀναδήματα,
ἔγχουσαν, ὄλεθρον τὸν βαθύν, ψιμύθιον,
μύρον, κίσηριν, στρόφι', ὀπισθοσφενδόνην,
κάλυμμα, φῦκος, περιδέραι', ὑπογράμματα,
τρυφοκαλάσιριν, ἐλλέβορον, κεκρύφαλον,
ζῶμ', ἀμπέχονον, τρύφημα, παρυφές, ξυστίδα,
χιτῶνα, βάραθρον, ἔγκυκλον, κομμώτριον.
Β. τὰ μέγιστα δ' αὐτῶν οὐ λέγεις ταυτί; Α. τί δαί;
Β. διόπας, διάλιθον, πλάστρα, μαλάκιον, βότρυς,
χλίδωνα, περόνας, ἀμφιδέας, ὅρμους, πέδας,
σφραγῖδας, ἁλύσεις, δακτυλίους, καταπλάσματα,
πομφόλυγας, ἀποδέσμους, ὀλίσβους, σάρδια,
ὑποδερίδας, ἑλικτῆρας, ἄλλα πολλά θ' ὧν
οὐδ' ἂν λέγων λῆξαί τις.

Pollux 7, 95 *οὐδ' ἂν εἴη φαῦλον τούτοις ὑποθεῖναι λέξιν ἐκ Θεσμοφοριαζουσῶν Ἀριστοφάνους, ἐπεὶ πολλὰ εἴδη ἐν αὐτῇ περι-*

ἔχει γυναικείων φορημάτων, ἃ καὶ τοῖς περὶ κόσμον ἂν ἁρμόσειε ταῦτα· κτλ. Clemens Alex. Paedag. 2, 245. 6 πάνυ γοῦν ἐπιψόγως πάντα τὸν γυναικεῖον καταλεγόμενος κόσμον Ἀριστοφάνης ἐν Θεσμοφοριαζούσαις ὑποδείκνυσιν. παραθήσομαι δὲ αὐτὰς τοῦ κωμικοῦ τὰς λέξεις, διελεγχούσας ἀκριβῶς τὸ φορτικὸν ὑμῶν τῆς ἀπειραγαθίας· μίτρας — ἑλικτῆρας. 1. Photius λίτρον· οὐ νίτρον Ἀττικοί. οὕτως Ἀριστοφάνης. 2. Pollux 5, 101 καὶ ἄλλους δέ τινας κόσμους ὀνομάζουσιν οἱ κωμῳδοδιδάσκαλοι, λῆρον, ὀχθοίβους, ὄλεθρον, ἐλλέβορον, πομφόλυγας, βάραθρον, περιστέρια, σαμάκια, σισύμβριον, σισάριον. ὧν οὐ ῥᾴδιον τὰς ἰδέας συννοῆσαι διὰ τὸ μηδὲ πρόχειρον εἶναί τινα κατιδεῖν εἴτε σπουδάζοντες εἴτε παίζοντες χρῶνται τοῖς ὀνόμασιν. ἴσως δ' ἂν τοῖς κόσμοις προσήκοι καὶ τὸ ἔντριμμα, ψιμύθιον, ἄγχουσα, φῦκος, καὶ τὰ ὑπογράμματα. 4. Pollux 5, 96 στρόφιον καὶ ὀπισθοσφενδόνην παρ' Ἀριστοφάνους (ἂν προσθείης λαβών). cf. Eustath. Dionys. Perieg. 1. 5. Etym. m. 782, 9 ὑπόγραμμα . . . ᾧ τοὺς ὀφθαλμοὺς ὑπογράφουσι· καὶ ὑπογεγραμμένη, ἐστιβισμένη. Ἀριστοφάνης. quae non solum ad fr. 880, sed etiam ad hunc versum pertinere possunt. 6. Hesych. καλάσιρις· χιτὼν πλατύσημος ἢ ἡνιοχικὸς καὶ ἱππικὸς χιτών. ἔνιοι δὲ λινοῦν καὶ ποδήρη χιτῶνα ἰσχνόν (χιτωνίσκον M. Schmidt). Ἀριστοφάνης Θεσμοφοριαζούσαις. 10. Photius μαλάχιον· κόσμος χρυσοῦς γυναικεῖος. οὕτως Ἀριστοφάνης. Hesychius βοτροιδία (βοτρύδια)· ἐνωταρίων εἶδος. οἱ δὲ βότρυς. ἢ Θεσμοφοριάζουσιν (?). 11. Harpocratio ἀμφιδέαι· εἰσὶ περισκελίδες τινές. Ἀριστοφάνης Θεσμοφοριαζούσαις. 12. Pollux 10, 167 παρὰ Ἀριστοφάνει σφραγῖδας, ἁλύσεις. 13. Moeris 301 πομφόλυγας· τὰ δερμάτια, ἃ ἐπὶ τῶν κεφαλῶν αἱ γυναῖκες ἔχουσιν. Ἀριστοφάνης Θεσμοφοριαζούσαις. Aelian. V. h. 1, 18 τῶν δὲ Ἀττικῶν γυναικῶν τὴν τρυφὴν Ἀριστοφάνης λεγέτω.

1. ψαλίδα] ψαλίδια apud Bekkerum, contra metrum. 3. om. Clemens. ἔγχουσαν Dindf.] ἄγχουσαν. Atticorum forma est ἔγχουσα. 4. μύρον] νίτρον Clemens. κίσηριν] καὶ σιδήριον κίσηριν codices Clementis, nisi quod κίδηριν M et καὶ σιδήριν κίδηριν P. στρόφι' Bergk.] στροφίον Pollucis A et Clemens, στρόφον BC. 5. κάλυμμα] ὀπισθοκάλυμμα codices Clementis. περιδέραι'] περιδέρραια Clem. BR. περιδερραία F. περιδερέα M. περιδέρεα V et suprascr. αι rec. MP. ὑπογράμματα] ὑπεράμματα BFMR Clem. 6. τρυφοκαλάσιριν] τρυφοκαλάσισιν Clem. ἐλλέβορον om. Clem. 7. ἀμπέχονον] ἀμπεχόνιον Clem. τρύφημα] πόρπημα Salmas. Exerc. Plin. 808. 8. χιτῶνα] κιθῶνα (κίθωνα) Clem. κομμώτριον] χιτώνιον Clem. deinde Pollucis A: ἕτερά τε ὅσα οὐδεὶς μνημονεύσειε ποτὲ λέγων. 9. αὐτῶν οὐ λέγεις ταυτί] οὐ λέγεις αὐτῶν ταυτά A Poll. om. (cum τὰ μέγιστα δ') BC οὐκ εἴρηκα τούτων. εἶτα τί Clem. 10. μαλάκιον] μαλάκια Pollucis A. μολόχιον Clem. μαλάχιον Dindf. in ed. Clem. 10. 11. βότρυς, χλίδωνα] βοτρυχλιδῶνα Clem., βότρυν, χλίδωνα Bergkius et Dindf. 11. ἀμφιδέας] ἀμφιλέας cod. Clem. 14. ὑποδερίδας] ὑποθερίδας cod. Clem. ἑλικτῆρας] ἐρικτῆρας Clem. BFMNR,

in M λ superscr. rec. ἄλλα πολλά θ' ὧν Fritzschius Daetal. 73 n. 38] ἄλλ' ἀφ' ὧν. 15. λῆξαι τις Fritzschius] λέξαις Poll. λέξαις τὸ πλῆθος κοσμίων Bergkius Clementem secutus, qui enumerationi suae addit ἐγὼ μὲν ἔκαμον καὶ ἄχθομαι λέγων τὸ πλῆθος τῶν κοσμίων.

1. Ach. 1176 κηρωτὴν παρασκευάζετε, ad vulnus sanandum. hic sine dubio pro fuco est. 2. ὀχθοίβους. cf. Pherecr. 100. μίτρας, ἀναδήματα cf. Lachmann. Lucret. 4, 1129. 3. ὄλεθρον firmatur Poll. 5, 101. Photius ὄλεθρον· τὸ μόριον τὸ γυναικεῖον (κοσμάριόν τι γ. H. Iacobi V p. CXXXVI). idem Iacobius ὄλεθρον quasi inprecationem quandam interpositam esse posse arbitratur. at copiosius talia inseruntur, ut non ita delitescant ut hic. Hesych. ὄλεθρος βαθύς· ἔνιοι ἐπὶ κόσμου γυναικείου, ubi βαθύς certe ex depravato iam codice Aristophanis adscriptum. fortasse pro ὄλεθρον scribendum ἔλυτρον, tum autem certissime τιγγάβαρι (vel τιγγάβαρυ, sic enim fere scribebatur, cf. Cramer. Anecd. Ox. II 120, 29), ψιμύθιον. eiusmodi enim catalogorum ea lex est, ut ne ullum nomen epitheton accipiat. cf. Diocl. 9. 10. (κιννάβαριν Anaxandrid. 14). Photius 592, 7 τιγγάβαρι (γγ ex ττ vel νν) καὶ κιννάβαρι· τὸ μὲν αὐτοφυὲς περὶ Ἰβηρίαν καὶ Κόλχους· τὸ δὲ ἐξ ἄμμου λαμπυριζούσης καθάπερ ὁ κόκκος, ὡς Θεόφραστος ἐν τῷ περὶ λίθων. Hesychius τίγγα· Διοκλῆς ἐν Μελίτταις (9. 10). Ἡρακλέων δὲ οὐ διελὼν ὅτι βαρὺ (Sopingius τιγγάβαρι) τὸ κιννάβαρι λέγει. manifesto Hesychius τίγγα βαρύ, non τίγγα scripsit. aliter enim οὐ διελών nullam habet interpretationem. 4. στρόφια. cf. Lys. 931. Thesm. 139. 251. 255. 638. 6. τρυφοκαλάσιριν. Hesych. τρυφοκαλάσιρις (cod. τρύφος καλασιρίς)· ἔνδυμα γυναικεῖον. cf. Cratin. 30. Herodot. 2, 81. ἐλλέβορον. Hesych. ἐλλέβορος ... κόσμος γυναικεῖος χρυσοῦς. cf. Nicostrat. 33. κεκρύφαλον. Thesm. 138. 257. 7. παρυφές. Pollux 7, 53 παρυφὲς δὲ καὶ παραλουργὲς τὸ ἑκατέρωθεν ἔχον παρυφασμένην πορφύραν. Photius παράπηχυ· ἱμάτιον τὸ παρ' ἑκάτερον μέρος ἔχον πορφύραν· τοῦτο δὲ καὶ παρυφὲς καλοῦσιν, τὸ δὲ κύκλῳ τὴν πορφύραν ἔχον ἔγκυκλον. ξυστίδα, cf. Nub. 70. 8. χιτῶνα suspectum. quid enim simplicissima vestis inter luxuriae instrumenta? non minus βάραθρον. scribo φείδωνα, βασάραν. Pollux 10, 179 εἴη δ' ἂν καὶ φείδων τι ἀγγεῖον ἐλαιηρόν. idem 7, 60 Λυδῶν δὲ χιτών τις βασάρα. iam intellegitur quomodo χιτῶνα in verba poetae inrepserit. 9. fort. τὰ μέγιστα δ' αὐτῶν οὐ λέγεις. *A.* τί δαί; *B.* ταδί· διόπας κτλ. 10. διόπας. Hesych. διόπαι· εἶδος ἐνωτίων. τινὲς δὲ ὑποδημάτων. idem πλάστρα· ἐνώτια. μαλάκιον. sic etiam Hesych. μαλάκιον· γυναικεῖον κοσμάριον. Naevius Lycurg. Non. crocotula '*pallis, patagiis, crocotis, malaciis, monilibus*'. 11. χλίδωνα. Herodian. I 229, 18 Lentz. χλίδων, χλίδωνος· οὗτος δὲ λέγεται κόσμος ὁ περὶ τοὺς βραχίονας. Theodos. (Dindf. Aristid. III 418) χλίδων· σημαίνει δὲ τὸν περὶ τοὺς βραχίονας κείμενον κόσμον. Athen. 12, 525 ef (Σάμιοι) ἐφόρουν χλι-

δῶνας περὶ τοῖς βραχίοσιν. ἀμφιδέας. Hesych. ἀμφιδέαι· ψέλλια, κρίκοι, δακτύλιοι. 13. ἀποδέσμους. cf. fr. 325. Hesychius (non recte) ἀπόδεσμος· κόσμιόν τι γυναικεῖον. περικεφάλαιον. σάρδια. Menand. Athen. 3, 94b. Plat. Phaed. 110d σάρδιά τε καὶ ἰάσπιδας καὶ σμαράγδους. Theophr. fr. 2, 8 σπάνιοι πάμπαν εἰσὶ καὶ σμικροὶ ἥ τε σμάραγδος καὶ τὸ σάρδιον. cf. 2, 23. 30. 14. non neglegendus rarissimus ictus in ὑποδεριδάς. ἑλικτῆρας. Bekker. Anecd. 248, 23 ἑλικτήρ· εἶδός ἐστιν ἐνωτίου. ἐκλήθη δὲ οὕτως ἴσως ἐπεὶ ἑλικὴν (ἑλικτὴν) ἔχει τὴν κατασκευήν. cf. Lys. 12, 19 τῆς Πολεμάρχου γυναικὸς χρυσοῦς ἑλικτῆρας ... ἐκ τῶν ὤτων ἐξείλετο. cum ὧν non habeat unde pendeat, scribendum censeo ἄλλα πολλά θ' ὧν οὐδ' ἂν λέγων τὠνόματα λέξαις εὐπετῶς. nam λέξαις Pollux, et de syntaxi λέγων λέξαις ἄν cf. Meinek. III 441.

321

ὅσα περίεργ' αὐταῖσι τῶν φορημάτων
ὅσοις τε περιπέττουσιν αὐτὰς προσθέτοις.

Schol. Plut. 159 περιπέττουσι· διὰ τὸ τῷ προσθέτῳ κοσμεῖσθαι κόσμῳ· ὁ αὐτὸς Θεσμοφοριαζούσαις κτλ. ὅσα Bergk.] ὅσ' ἦν Hemsterh. et ut videtur V. ὃς ἦν περίεργος Ald. ὅσοις Bergk.] ὅσαις Porson. et ut videtur V. ὅσαι ἔτι Ald. αὐτὰς Toup.] ἑαυτάς. προσθέτοις] πρόσθε V. ἦν ferri non poterat propter περιπέττουσιν. ὅσαις minus recte quam ὅσοις, quia non solum κόμην habent πρόσθετον, sed multa alia.

322

ἀγαθὰ μεγάλα τῇ πόλει
ἥκειν φέροντάς φασι τοὺς πυλαγόρας
* * * καὶ τὸν ἱερομνήμονα.

Schol. Nub. 623 ἱερομνήμονας ἔπεμπον εἰς Πυλαίαν καὶ πυλαγόρας. Ἀριστοφάνης Θεσμοφοριαζούσαις κτλ. Harpocratio Πύλαι. Πυλαία δ' ἐκαλεῖτο ἡ εἰς τὰς Πύλας σύνοδος τῶν Ἀμφικτυόνων ... ἐπέμποντο δ' ἐκ τῶν πόλεων τῶν μετεχουσῶν τῆς ἀμφικτυονίας τινὲς οἵπερ ἐκαλοῦντο πυλαγόραι ... Ἀριστοφάνης ἐν ταῖς δευτέραις Θεσμοφοριαζούσαις. cf. Strabon. 9, 420. lacunae signum posuit Bergkius. sed vix quicquam excidere potuit aliud quam ἐκ τῆς Πυλαίας.

323

ὡς διά γε τοῦτο τοὔπος οὐ δύναμαι φέρειν
σκεύη τοσαῦτα καὶ τὸν ὦμον θλίβομαι.

Schol. Ran. 3 ὡς καὶ ἐν δευτέραις Θεσμοφοριαζούσαις ὁ θεράπων φησίν κτλ. σκεύη] σκεύει R. φέρειν σκεύη Seidlerus] σκεύη φέρειν.

324

οἴμοι κακοδαίμων τῆς τόθ' ἡμέρας, ὅτε
εἶπέν μ' ὁ κῆρυξ, οὗτος ἀλφάνει.

Bekker. Anecd. 382, 8 et Suidas *ἀλφάνει· εὑρίσκει. Ἀριστοφάνης Θεσμοφοριαζούσαις κτλ. οὗτος] οὗτος ὠνὴν* Meinek. *πρᾶσιν οὗτος* Bergkius. *οὗτος ἀλφ. πόσον;* C. F. Hermann. Philol. II 434, quae mira est verborum in praeconio conlocatio. *οὑτοσί τί ἀλφ.* Cobet. Mnem. nov. II 185. cf. Eupol. 258.

325

τὴν πτέρυγα παραλύσασα τοῦ χιτωνίου
καὶ τῶν ἀποδέσμων, οἷς ἐνῆν τὰ τιτθία.

Pollux 7, 66 *τὸ νῦν καλούμενον ὑπὸ τῶν γυναικῶν στηθόδεσμον ἀπόδεσμον ἐκάλουν. εὕροις δ' ἂν ὀνομαζόμενον ἀπόδεσμον ἐν Θεσμοφοριαζούσαις Ἀριστοφάνους κτλ. τῶν ἀποδέσμων] τὸν ἀπόδεσμον* Bergk. *τὰ τιτθία* Brunck.] *τιτθίδια*, quod retinent et Bergkius et Bekkerus. at non nescio cuius, sed *τῆς παραλυσάσης τὰ τιτθία ἐνῆν.* nisi forte sequebatur *ὡραιότατα.*

326

καὶ κατ' Ἀγάθων' ἀντίθετον ἐξυρημένον.

Bekker. Anecd. 410, 14 *ἀντίθετον· τὸ σχῆμα τῆς φράσεως, ὡς ἡμεῖς. Ἀριστοφάνης Θεσμοφοριαζούσαις κτλ. κατ' Ἀγάθων'* Bekker.] *κατ' ἀγαθὸν. ἐξυρημένον* O. Iahn. Mus. Rhen. IIII 638] *ἐξευρημένον.* Pers. Sat. 1, 85 *crimina rasis librat in antithetis.* quod apud Aristophanem aliam quoque notionem (obscaenam sine dubio) subesse suspicatur, id plus quam dubium est. *antitheta* (pro quibusvis dicendi artificiis) *rasa* esse dicuntur, i. e. *nimia arte expolita.* Athen. 5, 187 c *χλευάζει (Πλάτων) τὰ ἰσόκωλα τὰ Ἀγάθωνος καὶ ἀντίθετα.* quorum nimium studium cum nescio quis ei suaderet ut inminueret, *εἶπεν, ἀλλὰ σύ γε, γενναῖε, λέληθας σαυτὸν τὸν Ἀγάθωνα ἐκ τοῦ Ἀγάθωνος ἀφανίζων.* Aelian. V. h. 14, 13.

327

Ἄμφοδον ἐχρῆν αὐτῷ τεθεῖσθαι τοὔνομα.

Pollux 9, 36 *ταῦτα δὲ καὶ ἄμφοδά ἐστιν εὑρεῖν κεκλημένα, οὐ παρ' Ἀριστοφάνει μόνον, εἰπόντι ἐν Θεσμοφοριαζούσαις κτλ., ἀλλὰ καὶ παρ' Ὑπερείδῃ κτλ.* Etym. m. 92, 26 *λέγει δὲ Εὐριπίδης ὁ τραγικὸς ἐτυμολόγος (ἐτυμολογῶν* Valckenar.) *τὸ Ἀμφίων, ὅτι Ἀμφίων ἐκλήθη παρὰ τὴν ἄμφοδον ἤγουν παρὰ τὸ παρὰ τὴν ὁδὸν γεννηθῆναι. ὁ δὲ Ἀριστοφάνης κωμικευόμενος λέγει, ὅτι οὐκοῦν Ἄμφοδος ὤφειλεν κληθῆναι.* Hyperid. fr. 163 *τὴν οἰκίαν τὴν μεγά-*

λην τὴν Χαβρίου καλουμένην καὶ τὸ ἄμφοδον. Eurip. fr. 181 (indic. Bergk.) τὸν μὲν κικλήσκει Ζῆθον· ἐζήτησε γὰρ | τόκοισιν εὐμάρειαν ἡ τεκοῦσά νιν, non minus frigide. τεθεῖσθαι suspectum. male Herwerdenus Obs. crit. 40 γε κεῖσθαι (debebat enim τούτῳ γε κ.), recte Cobetus V. l.[2] 312 τίθεσθαι.

328

σακίον, ἐν οἷσπερ τἀργύριον ταμιεύεται.

Pollux 10, 152 καὶ σακίον, ὅταν φῇ ἐν Θεσμοφοριαζούσαις κτλ. i. e. σακίον ex numero eorum, ἐν οἷσπερ κτλ. Eurip. Orest. 920 αὐτουργός, οἵπερ καὶ μόνοι σῴζουσι γῆν. Suppl. 867 ἀληθὴς ἦν φίλος . . . ὧν ἀριθμὸς οὐ πολύς. Helen. 440 Ἕλλην πεφυκώς, οἷσιν οὐκ ἐπιστροφαί. Porson. Eur. Orest. 910 suae ed.

329

ἀναβῆναι τὴν γυναῖκα βούλομαι.

Zonaras I 195 ἀναβὰς ἐπὶ τὸν ἵππον ἀπῄει . . . τὸ δ' ἀναβὰς τὸν ἵππον οὐ πάνυ δόκιμον. Ἀριστοφάνης Θεσμοφοριαζούσαις κτλ. Cram. An. Par. IIII 113, 18. Moeris 187, 5 ἀναβῆναι τὴν γυναῖκα βούλομαι Ἀττικοί· ἀναβῆναι ἐπὶ τὴν γυναῖκα Ἕλληνες. initio iambus deest.

330

τὸ χαλκίον θερμαίνεται.

ἐν ταῖς Θεσμοφοριαζούσαις Ἀριστοφάνους εἰρημένον . . . οὕτω πως ἤκουον, ὡς εἰς πότον εὐτρεπιζομένων τῶν γυναικῶν. Pollux 9, 69. cf. Eupol. 108. Bekker. Anecd. 99, 21 θερμαίνεσθαι· οὐ μόνον τὸ ὕδωρ, ἀλλὰ καὶ τὸ λεβήτιον ἢ χαλκίον. initium tetrametri iamb. potius quam trimetri pars videtur esse.

331

ἀγὼν πρόφασιν οὐ δέχεται

Schol. Plat. 370 Bekk. ἐπὶ τῶν φύσει ῥαθύμων καὶ ἀμελῶν, ἤτοι ἐπὶ τῶν μὴ προσιεμένων τοὺς λόγους τῶν προφασιζομένων. μέμνηται δὲ αὐτῆς . . . καὶ Ἀριστοφάνης Θεσμοφοριαζούσαις β'. in lemmate schol. ἀγὼν (sic enim scribendum) πρόφασιν οὐκ ἀναμένει, in exemplis ἀγὼν προφάσεις οὐ δέχεται. Macar. 1, 16 ἀγὼν γὰρ οὐ μέλλοντος ἀθλητοῦ μένει | ἀλκήν, quae tragici sunt verba, non Aristophanis, ut Leutschio videbantur. ἀλκή enim comicis non usitatum. cf. Schneidewin. Ibyc. p. 165. Nauck. Trag. fr. 689. H. Iacobi V p. CXXXVII. Aristophanes (cf. Ach. 392) videtur scripsisse aut ἀγὼν πρόφασιν οὐκέτ' ἀναμένει aut ἀγὼν πρόφασιν οὐχὶ δέξεται (οὐκ ἐδέξατο).

332

ἅμα δ' ἠπίαλος πυρετοῦ πρόδρομος

Schol. Vesp. 1038 ἠπίαλος τὸ πρὸ τοῦ πυρετοῦ κρύος. Ἀριστοφάνης . . . Θεσμοφοριαζούσαις κτλ. aut dimeter anap. aut initium tetrametri.

333

ἦν μέγα τι βρῶμ' ἔτι τρυγῳδοποιομουσική,
ἡνίκα Κράτητί τε τάριχος ἐλεφάντινον
λαμπρὸν ἐκόμιζεν ἀπόνως παραβεβλημένον,
ἄλλα τε τοιαῦθ' ἕτερα μυρί' ἐκιχλίζετο.

Athenaeus 3, 117 c ὅτι δὲ διαβόητον ἦν τὸ τοῦ Κράτητος ἐλεφάντινον τάριχος, μαρτυρεῖ Ἀριστοφάνης ἐν Θεσμοφοριαζούσαις διὰ τούτων κτλ. 1. ἦν Elmsl. Ach. 499] ἤ. βρῶμ'] χρῆμ' Bergk. ῥῶμ' Nauck. Philol. VI 414 ex Photio 493, 22, non feliciter. ἔτι Elmsl.] ἐστὶν ἡ. 2. ἡνίκα Porson. Miscell. 236] ἠνὶ A. 3. ἐκόμιζεν Casaub.] ἐνόμιζεν. ἐνομίζετ' Bergk. παραβεβλημένον] παρακεκλημένον BP, quod Meinekius Anal. crit. Ath. 55 praefert, quia παραβεβλημένον 'tertia correpta ab Aristophane dici' non potuerit. fort. παρατετμημένον. cf. Lys. 116. 132. Alexid. 167, 12. verum latet alia corruptela. nam salsamentum elephantinum non erat Crateti pro praemio oblatum sed ab ipso inventum et quasi ferculum magnificum spectatoribus adpositum (Cratet. fr. 29). saepissime enim comici artem suam cum lauto convivio comparant, quo populum excipiant. itaque hoc dicit poeta: 'erat sane fructuosa Atheniensibus comoedia eo tempore, quo Crates tam magnificas epulas quam fuit salsamentum elephantinum spectatoribus offerebat et multae aliae id genus deliciae praesto erant'. quae non sine ironia dicta esse adparet. scribendum igitur est ἡνίκα Κράτης ποτὲ τ. ἐλ. λ. ἐκόμιζεν. cf. Ach. 13. per totum fragmentum numeros paeonicos retinendos esse constat.

334

μήτε Μούσας ἀνακαλεῖν ἑλικοβοστρύχους
μήτε Χάριτας βοᾶν εἰς χορὸν Ὀλυμπίας·
ἐνθάδε γάρ εἰσιν, ὥς φησιν ὁ διδάσκαλος.

Hephaestio 13, 5 ἐν δὲ ταῖς δευτέραις (libri προτέραις) Θεσμοφοριαζούσαις καὶ κρητικοὺς πολλάκις ἐν μέσοις τοῖς τετραμέτροις παρέλαβε κτλ. ex eodem ut videtur ac fr. 333 sive cantico sive epirrhemate excerptum. probabiliter huc Fritzschius rettulit fr. 699. invocatione Musarum non opus esse poeta gloriatur: semper enim secum esse.

335

Schol. Thesm. 298 (*Καλλιγένεια*) *δαίμων περὶ τὴν Δήμητραν, ἣν προλογίζουσαν ἐν ταῖς ἑτέραις Θεσμοφοριαζούσαις ἐποίησεν.* Photius *Καλλιγένειαν· Ἀπολλόδωρος μὲν τὴν γῆν, οἱ δὲ Διὸς καὶ Δήμητρος θυγατέρα· Ἀριστοφάνης δὲ ὁ κωμικὸς τροφόν.* itaque Calligenia in prologo fabulae nutricem se esse Cereris profitebatur.

336

οἶνος ἀνθοσμίας

ὁ εὐώδης καὶ ἡδύς, ὡς Ἀριστοφάνης ἐν Βατράχοις (1150) *καὶ ἐν Θεσμοφοριαζούσαις.* Erotianus 104, 14 Klein. fortasse commemorabatur in versu haud procul remoto a fr. 317. Bergkius figurate poesin ita adpellari censet.

337

λύκος ἔχανεν

παροιμία . . . ἐπὶ τῶν συνελπιζόντων χρηματιεῖσθαι, διαμαρτανόντων δὲ λέγουσιν. Ἀριστοφάνης Θεσμοφοριαζούσαις β΄. Photius. Suidas *ἐπὶ τῶν ἐλπιζόντων μέν τι ἕξειν, διαμαρτόντων δὲ τῆς ἐλπίδος.* idem *λύκος χανών· ἐπὶ τῶν ἀπράκτων.* cf. Diogenian. 6, 20 et Cratin. 52. Plaut. Trinumm. 169 (1, 2, 132) *adesurivit et inhiavit acrius lupus.*

338

λακωνίζειν

παιδικοῖς χρῆσθαι. Ἀριστοφάνης Θεσμοφοριαζούσαις β΄. Photius et Suidas. idem Phot. 192, 14 *Κυσολάκων ὁ Κλεινίου· ὁ τῷ κυσῷ λακωνίζων· τὸ δὲ τοῖς παιδικοῖς χρῆσθαι λακωνίζειν ἔλεγον· Μελαίνῃ* (*Ἑλένῃ* Ruhnk. auct. Hesych. II 390) *γὰρ Θησεὺς οὕτως ἐχρήσατο, ὡς Ἀριστοτέλης* (Meinekius II 200 *Ἀριστοφάνης*). idque poeta in hac ipsa fabula videtur narravisse. cf. Lys. 781 sq. 805 sq.

339

Athenaeus 14, 619a *καὶ τῶν πτισσουσῶν ἄλλη τις* (*ᾠδή*), *ὡς Ἀριστοφάνης ἐν Θεσμοφοριαζούσαις.*

340

ἀμεινόνως

Ἀριστοφάνης Θεσμοφοριαζούσαις. Bekker. Anecd. 78, 24.

341

βαρβός

μύστρον. ἐν Θεσμοφοριαζούσαις. Hesychius. neque de vocabulo ipso constat neque quo pertineat. nam verba *ἐν Θεσμοφοριαζούσαις* ad glossam proxime antecedentem *βάρβιτος* (Thesm. 137) refert Pearso.

342

(*ἀπὸ τῶν*) *βαυκίδων*

ὅ ἐστιν εἶδος ὑποδημάτων Ἰωνικῶν, οἷς αἱ Ἰάδες χρῶνται, οὗ καὶ Ἀριστοφάνης ἐν Θεσμοφοριαζούσαις μέμνηται. Aspasius Aristot. Eth. 58 a. cf. Alexid. Athen. 13, 568 a (7).

343

διαλέξασθαι

Ἀριστοφάνης Θεσμοφοριαζούσαις. Bekker. Anecd. 88, 28. Pollux 2, 125 *Ὑπερείδης διειλεγμένος ἐπὶ ἀφροδισίων, Ἀριστοφάνης δὲ διαλέξασθαι ἔφη.* Bekker. Anecd. 37, 4 *διαλέξασθαι, οὐ μόνον διαλεχθῆναι.* Hesych. *διαλέγεσθαι· ἐπὶ τοῦ συνουσιάζειν.*

344

ἐπανορθώσασθαι

Ἀριστοφάνης Θεσμοφοριαζούσαις. Bekker. Anecd. 96, 25.

Praeterea ad Thesmophoriazusas fr. 666 refert Dindorfius.

ΚΩΚΑΛΟΣ

Minos rex Daedalum in Siciliam fugientem secutus ad Inycum vel Camicum, Siculorum oppidum, pervenit, ubi Cocalus regnabat. is Daedalum reddere iussus cum id se facturum simulasset, magnifico Minoem hospitio excepit, sed lavantem sive ipse sive filiarum ope, quas Daedalus arte sua sibi conciliaverat, oppressit et corpus Cretensibus reddidit regem in balneo lapsum et aqua calida exstinctum esse excusans. Diodor. 4, 79. Strab. 6, 273. Athen. 1, 10e. Paus. 7, 4, 5. Schol. Hom. Il. 2, 145. Hygin. Fab. 44. Grauert. Mus. Rhen. II (1828) 507. 8. Meinek. Anal. Ath. 6. tractaverat hanc fabulam Sophocles in Camiciis, comice in ridiculum deflexit Aristophanes.

Vit. Aristoph. XXVII 7 Duebn. *πρῶτος δὲ καὶ τῆς νέας κωμῳδίας τὸν τρόπον ἐπέδειξεν ἐν τῷ Κωκάλῳ.* XXVIII 69 *ἔγραψε Κώκαλον, ἐν ᾧ εἰσάγει φθορὰν καὶ ἀναγνωρισμὸν καὶ τἄλλα πάντα ἃ ἐζήλωσε Μένανδρος.* Argument. Plut. IIII *τελευταίαν δὲ*

διδάξας τὴν κωμῳδίαν ταύτην (*Πλοῦτον*) *ἐπὶ τῷ ἰδίῳ ὀνόματι . . . τὰ ὑπόλοιπα δύο δι' ἐκείνου* (*'Αραρότος τοῦ υἱέος*) *καθῆκε, Κώκαλον καὶ Αἰολοσίκωνα.* quo factum est ut interdum Araroti fabula tribueretur.

345

παρέσο, κατέτριβεν ἱμάτια κἄπειτά πως
φῴδας τοσαύτας εἶχε τὸν χειμῶν' ὅλον.

Erotianus 133, 9. 134, 3 Klein. *φῴδες· ἔστι μὲν ἡ λέξις Δωρική, καλοῦσι δὲ φῴδας τὰ ἐκ τοῦ πυρὸς γινόμενα, μάλιστα δὲ ὅταν ἐκ ψύχους ἐν τῷ πυρὶ καθίσωσι, στρογγύλα ἐπιφλογίσματα . . . καὶ 'Αριστοφάνης ἐν Κωκάλῳ φησί κτλ. παρέσο*] *πάρες ὦ* Fritzsch. Euphros. I 18. *πάρες, ὦ* Bergkius (non Meinekius, ut est apud Kleinium). *πατρὸς* Dindorf. *κἄπειτά πως*] *κἄπειτα πῶς* C. *τοσαύτας*] *τοιαύτας* B. *χειμῶν' ὅλον* Eustachius et Seidler. Aristoph. Fr. 11] *χειμώναυλον. Κωκάλῳ* vulg.] *κολάκῳ* omnes boni cod. praeterea Milleri cod. Flor. Etym. m. (Mélanges 305) *εἴχετον* pro *εἶχε τόν*. neque *πάρες ὦ* neque *πάρες ὦ* admitti potest. facillime intellegitur Eurip. fr. 310 N. *πάρες, ὦ σκιερὰ φυλλάς, ὑπερβῶ κρηναῖα νάπη*, facillime eius carminis parodia Vesp. 757 *πάρες, ὦ σκιερά*. at hic neque parodiae locus est neque apta earum vocum (omisso praesertim vocativo) interpretatio excogitari potest. videntur inter *παρέσο* et *κατέτριβεν* propter earum quae sequebantur similitudinem paucae litterae excidisse: *A.* (*πάντα γὰρ*) *παρεὶς* | *ο*(*ἴκοι*) *κατέτριβε θαἰμάτια. B. κἄπειτα πῶς* | *φῴδας τοσαύτας ἔσχε; A. τὸν χειμῶν' ὅλον* | (*παρὰ τὸν ἰπνὸν καθῆστο*). constat pustulas significari in Minois corpore a Cretensibus inventas, easque alio modo quam quo natae erant a Cocalo explicari. Pollux 7, 10 *φῴδες δὲ αἱ ἀπὸ τῆς φλογὸς φλύκταιναι.* Bekker. Anecd. 70, 27 *φῴδες· τὰ ἐν τοῖς σκέλεσι γινόμενα ὑπεκκαύματα ὑπὸ τοῦ πυρός, ἐπειδάν τις πλησίον αὐτοῦ καθιζάνῃ . . . κλίνεται φῳδός. ἑνικῶς δὲ οὐ λέγεται, οὐδὲ δυϊκῶς, ἀλλὰ πληθυντικῶς.* cf. etiam Schol. Aristoph. Plut. 535.

346

A. ἦ λοιδορία τις ἐγένεθ' ὑμῖν; B. πώμαλα·
οὐδ' εἶπον οὐδέν.

Harpocratio *πώμαλα· ἀντὶ τοῦ οὐδαμῶς . . . πολὺ δ' ἐστὶν ἐν τῇ ἀρχαίᾳ κωμῳδίᾳ. 'Αριστοφάνης· λοιδορία κτλ.* Suidas *πώμαλα· . . . παρ' 'Αριστοφάνει ἐν Κωκάλῳ. δεῖ δὲ ἀναγινώσκειν ὑφ' ἓν πώμαλα.* Hesych. *κῦρον· οὔτ' εἶπον οὐδὲν πρὸς σὲ κῦρον* (*οὐδὲ πρὸς κύρον* cod.), *ὦ γύναι. σοὶ ἀνῆκον, εἰς σὲ τεῖνον*, unde Fritzschius alterum versum suppleri iussit. *ἦ* initio addidit Bergkius.

ἐγένεθ'] *ἐγεννήθ'* BCG. 2. *οὐδ'* Fritzschius] *οὐδενὶ* A, *οὐδὲ* BCG. *οὐδὲν* reliqui. *οὐδέν* C] *οὐδένιν* B, *οὐδενί* reliqui. Fritzschio alterum versum supplenti non adsentior, siquidem *οὐδ' εἶπον οὐδέν* etiam a quovis iambographo scribi poterat, *κῦρον* autem vix fuisse comicorum, immo ne Atticorum quidem videtur. omnino autem, cum Suidas nihil nisi *πώμαλα* ex Cocalo excerpserit, dubium est an cetera ad alteram fabulam pertineant. cf. Plut. 66. Pherecr. 9. si ad Cocalum, videtur conloquium esse Cocali cum altero nescio quo quaerente, an forte rixa orta hospitem occiderit.

347

ἀλλ' ἐστίν, ὦ πάτερ, κομιδῇ μεσημβρία,
ἡνίκα γε τοὺς νεωτέρους δειπνεῖν χρεών.

Athenaeus 4, 156 b *'Αριστοφάνης ἐν Κωκάλῳ ἔφη κτλ.* 2. *γε* Dindf.] *καὶ*. Brunckius *ὁπηνίκα*.

348

ἐκδότω δέ τις
καὶ ψηφολογεῖον ὧδε καὶ δίφρω δύο.

Photius et Suidas *ὧδε· οὐ μόνον τὸ οὕτως, ἀλλὰ καὶ τὸ ἐνθάδε* (*huc*), *ὡς ἡμεῖς . . . 'Αριστοφάνης Κωκάλῳ κτλ.* cf. Vesp. 529. Plut. 1194. *δίφρω*] *δίφροι* cod. Phot. *ψηφολογεῖον* Porson] *ψηφολόγιον* cod. Phot., *ψηφολόγον* Suid. (C *ψοφολόγον*).

349

κοφίνους δὲ λίθων ἐκέλευες
ἡμᾶς ἱμᾶν ἐπὶ τὸν κέραμον.

Pollux 7, 162 *καὶ αὐτὸ δὲ τὸ τέγος οὐ μόνον οἱ νῦν κέραμον ὀνομάζουσιν, ἀλλὰ καὶ 'Αριστοφάνης . . . εἰπὼν ἐν Κωκάλῳ κτλ.* *ἡμᾶς ἱμᾶν* Bergkius] *ἡμᾶς*. Kuehnius *ἱμᾶν*. Bekker. Anecd. 47, 19 *κέραμον, ὡς ἡμεῖς, τὸν ἐπὶ τοῦ στέγους.* Nub. 1126. fortasse Camicus obsidebatur.

350

Athenaeus 11, 478d *'Αριστοφάνης Κωκάλῳ· ἄλλαι ὑποπρεσβύτεραι γρᾶες Θασίου μέλανος μεστὸν κεραμευομέναις κοτύλαις μεγάλαις ἔγχεον ἐς σφέτερον δέμας οὐδένα κόσμον, ἔρωτι βιαζόμεναι μέλανος οἴνου ἀκράτου. οὐδένα κόσμον* Toupius Emend. II 94] *οὐδὲν ἄκοσμον. ἔρωτι — ἀκράτου* delet Toupius. Madvigius Philol. I 676 deletis *γρᾶες* et *μέλανος οἴνου ἀκράτου* ut interpretamentis *ἄλλαι δ' ὑποπρεσβύτεραι Θασίου μέλανος μεστὸν κέραμον θέμεναι κοτύλαις μεγάλαις ἔγχεον* (vel *ἐνέ-*

χουν) σφέτερον δέμας οὐδένα κόσμον ἔρωτι βιαζόμεναι κτλ., continuatis anapaestis. Herwerdenus quae effinxit cf. Mnem. nov. VI 60. fallitur uterque μακρόν nescio quod esse censens, cui sententia minime convenit. sunt tetrametri anapaestici, quos Athenaeus transpositis verbis obscuravit:

ἄλλαι δ' ὑποπρεσβύτεραι Θασίον μέλανος πόθῳ οὐδένα κόσμον
κέραμον θέμεναι κοτύλαις μεγάλαις σφέτερον δέμας οἴνου ἐμέστουν.

ἔρωτι βιαζόμεναι est glossema nominis πόθῳ, ἔγχεον ἐς verbi ἐμέστουν, ex quo μεστὸν remansit. κέραμον, ut Herodot. 3, 6 (bis).

351

Macrobius Saturnal. 5, 18, 4. 5 *monstrabo, hunc morem loquendi pervagatum fuisse ut Acheloum pro quavis aqua dicerent. Aristophanes vetus comicus in comoedia Cocalo sic ait,* ἥμουν ἄγριον βάρος. ἤτειρεν γάρ τοί μ' οἶνος οὐμειξας πόμα Ἀχελῴῳ. *gravabar, inquit, vino, cui aqua non fuisset admixta, id est mero.* ἤτειρεν] ἤγειρε Bergk. οὐμειξας] οὐ μιγεὶς hb. 'cod. reg. 9371 ΗΓΕΙΡΕΝΤΑΡΟΙΝΟϹΟΤΜΕΙΖΑϹΠΟΜΑ'. Bergk. — *non excitat e somno* nimia vini potio. itaque Cobetus Mnem. V 192 ἔτειρε coni. Lys. 959. anapaestos H. Iacobi ἥμουν ἄγριον | βάρος· ἤγειρεν γάρ τοί μ' οἶνος | πρόσθ' οὐ μιχθεὶς Ἀχ., glyconeos Dindorfius restituit ἥμ. ἀγρ. βάρος· | κἄτειρε γὰρ οἶνος οὐ | μεγεὶς Ἀχ. fortasse ἥμουν οὖν ἄγριον βάρος· | ἔτειρε γάρ μ' οἶνός θ' ὃν οὐ μίξας ποτὸν | ἔδωκ' Ἀχελῴῳ καὶ —. praeterea in v. 1 fortasse scrib. ⏓ – ⏑ ἥμουν οὖν ἄγριον βορᾶς βάρος.

352

χρυσὸς ὁ Κολοφώνιος

μέμνηται ταύτης Ἀριστοφάνης ἐν Κωκάλῳ. εἴρηται δὲ παρόσον οἱ Κολοφώνιοι τὸν κάλλιστον χρυσὸν ἐργάζεσθαι νομίζονται. καὶ Ἡρόδοτος δὲ Κολοφώνιον καλεῖ τὸν ἄριστον χρυσόν. Zenobius 6, 47. Herodoti locum nemo repperit. cf. Greg. Cypr. Leyd. 3, 38. Apostol. 18, 37.

353

ἰπνός

Ἀριστοφάνης δὲ ἐν Κωκάλῳ καὶ τὸν κοπρῶνα οὕτως εἶπεν. Hesychius. Pollux 5, 91 *τὸν δὲ κοπρῶνα καὶ ἰπνὸν Ἀριστοφάνης καλεῖ.*

354

κορινθιάζομαι

τὸ ἑταιρεῖν ἀπὸ τῶν ἐν Κορίνθῳ ἑταιρῶν. ἢ τὸ μαστροπεύειν. Ἀριστοφάνης ἐν Κωκάλῳ. Stephanus Byz. Κόρινθος.

355

στραγγουρία

ὡς Ἀριστοφάνης ἐν Κωκάλῳ. Pollux 4, 187. (cod. Falckenb.)

Praeterea cf. fr. 427.

ΛΗΜΝΙΑΙ

Lemnias scripserat Sophocles, Hypsipylen Aeschylus et Euripides. atque Aeschylea quidem et Sophoclea tragoedia Argonautarum cum Lemniis mulieribus consuetudinem, Euripidea Opheltae Archemorive praematuram mortem continebat. Aristophanem Lemniarum Argonautas hospitio excipientium imagine Atticarum mulierum libidines notavisse simulque Cratini Thraessarum exemplo Bendin, deam Thraeciam, eiusque novam in Attica religionem acerbe commemoravisse Bergkius conicit, actam autem fabulam eo tempore, quo Bendis, diu privatim culta, etiam publice ab Atheniensibus fuerit recepta, i. e. Ol. 92, 2—4. de Bendide cf. etiam Boeckh. Opusc. IIII 449.

356

Λῆμνος κυάμους τρέφουσα ταχεροὺς καὶ καλούς.

Athenaeus 8, 366 c d Ἀριστοφάνης ἐν Λημνίαις τὸ ταχερὸν ἔταξεν ἐπὶ τοῦ τρυφεροῦ, λέγων οὕτως κτλ. καὶ καλούς] χἀπαλούς Meinek. Anal. Ath. 161, sine idonea causa. videtur poeta in prologo, ad quem etiam proxima fragmenta pertinent, Lemniarum mulierum facinus (fr. 358) ad Euripidis imitationem exposuisse.

357

ἐνταῦθα δ' ἐτυράννευεν Ὑψιπύλης πατὴρ
Θόας, βραδύτατος ὢν ἐν ἀνθρώποις δραμεῖν.

Ammonius 138 Valck. τύραννον οἱ ἀρχαῖοι ἐπὶ βασιλέως ἔτασσον . . . Ἀριστοφάνης ἐν Λημνίαις κτλ. δ' add. Bergkius. 2. βραδύτατος ὢν idem] βραδύτατος τῶν. βράδιστος Cobetus N. l. 119 'quia haec omnia e tragoedia παρῳδῆσθαι palam est'. diversus hic Thoas a Taurorum rege Eurip. Iph. T. 32. ridet Aristophanes tragicos ex nomine mores hominum explicantes.

358

τοὺς ἄνδρας ἀπεχρήσαντο τοὺς παιδοσπόρους.

Bekker. Anecd. 423, 32 et Suidas ἀπεχρήσαντο· διεχρήσαντο, ἀπέκτειναν. Λημνίαις Ἀριστοφάνης κτλ. eadem fabulae nomine omisso Etym. m. 124, 26. Pollux 9, 153 Ἀριστοφάνης δὲ 'τοὺς

ἄνδρας ἀπεχρήσαντο', scilicet quos ante Argonautarum adventum habuerant.

359

ἀνδρῶν ἐπακτῶν πᾶσα γάργαρ' ἑστία.

Schol. Acharn. 3 et Suidas *ψαμμακοσιογάργαρα . . . καὶ τὰ γάργαρα δὲ ἐπὶ πλήθους ἐτίθετο ὡς ἐν Λίμναις* (Suidas *Λημνίαις* Küster.) *κτλ. γάργαρ'* Bergkius] *γάργαιρ'*. Toupius Emend. III 200 *πᾶσ' ἐγάργαιρ'*, quod reicit Bergkius, quod *nominis γάργαρα* exempla adferantur. at unum *verbi* exemplum etiam apud scholiastam. cum *ἄνδρες ἐπακτοί* (cf. Soph. Ai. 1296) sine dubio sint Argonautae, scribendum videtur *π ᾶ σ α γ α ρ γ α ί ρ ε ι σ τ έ γ η*. ridicule M. Schmidtius Hesych. (*ἐπακτούς*) *πᾶσα — σπιλάς*. ceterum cf. Aristomen. 1. Alcae. com. 19. Hesych. *ἐκάρκαιρεν· ἐπλήθυνεν.*

360

ἀλλ' ἀρτίως κατέλιπον αὐτὴν σμωμένην
ἐν τῇ πυέλῳ.

Pollux 7, 166 *εἰκότως δ' ἂν βαλανείῳ προσάγοιτο καὶ τὸ ἐν ταῖς Λημνίαις ὑπ' αὐτοῦ εἰρημένον κτλ.* Hypsipyle indicari videtur.

361

ἕως νεαλὴς ἐστιν αὐτὴν τὴν ἀκμήν.

Photius *νεαλής· ἐκτείνεται τὸ ᾱ. Ἀριστοφάνης Λημνίαις ἕως κτλ. Μένανδρος.* dubium esse potest utrum Aristophanis an Menandri verba sint. sed huius versus videtur excidisse. Bekker. Anecd. 52, 20 *νεαλές . . . Ἀριστοφάνης τὸ νεαλές*, quae ad alium locum pertinere possunt. 'omnia integra et vegeta vocantur *νεαλῆ*.' Lobeck. Phryn. 375 adn., qui iure ridicula veterum de ea voce commenta perstringit. *αὐτὴν*] *α ὕ τ η*?

362

ἢ καρδιώττεις; ἀλλὰ πῶς χρῆσται ποιεῖν;

Suidas *χρή. λέγουσι δέ ποτε καὶ χρῆσθαι ἀντὶ τοῦ δεῖ . . . Ἀριστοφάνης Λημνίαις κτλ. ἢ καρδιώττεις;* Dobraeus] *ἡ καρδία τε τίς; χρῆσται* G. Hermannus (*χρῆσται* vel *χρήσται*)] *χρῆσθαι.* cf. Pherecr. 103. Phrynich. 34.

363. 364

οὐ κρανίον λάβρακος, οὐχὶ κάραβον πρίασθαι,
οὐκ ἔγχελυν Βοιωτίαν, οὐ γλαῦκον, οὐχὶ θύννου
ὑπογάστριον.

Athenaeus 7, 311 c Ἀριστοφάνης . . . Λημνίαις (A Λήμναις)· οὐ κρανίον — πρίασθαι, ὡς διαφόρου ὄντος τοῦ τῶν λαβράκων ἐγκεφάλου, καθάπερ καὶ τοῦ τῶν γλαύκων. idem 7, 302 d ἐπαινεῖται δὲ τοῦ ἰχθύος τούτου (θύννου) τὰ ὑπογάστρια . . . Ἀριστοφάνης Λημνίαις· οὐκ ἔγχελυν κτλ. et 299 b ὁ γοῦν Ἀριστοφάνης . . . ἐν Λημνίαις· ἔγχελυν Βοιωτίαν. in unum coniunxit Dobraeus. — κρανίον] κρανεῖον A.

365

τὴν κρατίστην δαίμον' ἧς νῦν θερμός ἐσθ' ὁ βωμός.

Suidas ᾧ νῦν θερμοὶ βωμοί . . . Ἀριστοφάνης δὲ ἐν Λημνίαις κτλ. δηλοῖ δὲ ὅτι ἀεί τινες παρὰ Ἀθηναίοις ξένοι θεοὶ ἐτιμῶντο. ᾧ in lemmate Boissonad. Eunap. 562] ὦ. initio καὶ add. Porson. Hecub. praef. XLII. Bekker. Anecd. 29, 33 βωμὸς θερμός· λέγεται μὲν ἐπὶ τῶν θερμῶς εὐδοκιμούντων ἔν τινι, μετείληπται δὲ ἀπὸ τῶν ἱερῶν, ὧν διὰ τὸ θρησκεύεσθαι περιττῶς θερμοί εἰσιν οἱ βωμοί. significatur Bendis, quae fortasse cum ironia dicitur κρατίστη. ac potest τὴν δαίμονα pendere ex verbo omisso; potest tamen etiam poeta scripsisse καὶ μὴ κακίζειν (κακίσῃς τὴν) δαίμον' κτλ.

366

πεντελίθοισί θ' ὁμοῦ λεκάνης παραθραύσμασι

Pollux 9, 126 τὸ πεντελιθίζειν ἐστὶν ἐν τοῖς Ἑρμίππου Θεοῖς· τὸ δὲ ὄνομα πεντέλιθα ἐν ταῖς Ἀριστοφάνους Λημνίαις κτλ. γυναικῶν δὲ μᾶλλόν ἐστιν ἡ παιδιά. Bekkerus πεντάλιθα et πενταλίθοισι, sed melius πεντελ., ut in omnibus illis compositis. cf. Hermipp. 34. in exitu versus addendum παίζειν (παῖσαι Herwerd. Nov. add. crit. 17). est hexameter aut pars tetr. anap.

367

Etymol. m. 283, 45 δορίαλλος· λέγεται καὶ δόριλλος. Ἀριστοφάνης· αἱ γυναῖκες τὸν δορίαλλον φράγνυνται. ἔστι δὲ τὸ γυναικεῖον αἰδοῖον, ἐφ' ὕβρει τραγῳδιοποιοῦ Δορίλλου. ἢ παρὰ τὸ δείρειν τὸ τυπτόμενον, ἢ τὸ τιλλόμενον τὰς τρίχας καὶ οἱονεὶ ἐκδερόμενον. οὕτω γὰρ πάλαι ἐψίλουν, ὡς δηλοῖ Ἀριστοφάνης (Ran. 516) ἡβυλλιῶσαι κἄρτι παρατετιλμέναι. Etym. Gud. 150, 49 δορύαλος· τὸ γυναικεῖον αἰδοῖον. Ἀριστοφάνης· αἱ γυναῖκες τὸν δορύαλον φράγονται, παρὰ τὸ δέρειν. Hesychius δορυαλλός· τὸ τῶν γυναικῶν μόριον. ἀπὸ τοῦ δέρειν, ἢ ἐφ' ὕβρει τοῦ τραγῳδιοποιοῦ Δορύλλου, οὗ μέμνηται ἐν Λημνίαις. Schol. Ran. 516 δορίαλος τὸ γυναικεῖον αἰδοῖον, ὡς παρὰ τῷ αὐτῷ ποιητῇ αἱ γυναῖκες τὸν δορίαλον φράγνυνται. cf. Suid. Δόριλλος Herodian. I 158, 27. II 446, 15. 494, 1 Lentz. Dindorfio Δώριλλος Theognosti (Canon.

62, 13) vera videtur forma esse. Fritzschius Quaest. Arist. 88. 9 n. 14 Dorilli vel Dorylli tragici mentionem solam ad Lemnias pertinere, reliqua Aristophani quidem, sed incertae comoediae adiudicanda esse censet. cui adsentirer, si quid usquam de Dorillo constaret. qui cum nusquam alibi commemoretur, nomen *δόριλλος* vel quocumque modo scribendum est de membro muliebri vulgari usu receptum idque in tragicum nescio quem a comicis translatum videtur, ut pro cognomine sit, non pro nomine.

368

μεγάλην θεόν

Ἀριστοφάνης ἐν Λημνίαις· ἴσως τελβαιναιν· Θρᾴκιος γάρ. Photius. Hesychius *μεγάλη θεός· Ἀριστοφάνης ἔφη τὴν Βένδιν. Θρᾳκία γὰρ ἡ θεός.* etiam in Photii ΤΕΛΒΑΙΝΑΙΝ latet *τὴν Βενδῖν.* Thraces igitur Bendin ut Phryges Cybelen *magnam deam* adpellabant.

369

μόχλωσον τὴν θύραν

ἐν Λημνίαις Ἀριστοφάνης. Pollux 10, 25. i. e. *ianuam claude. μόχλευσον* est *vectibus effringe.*

370

ἄρκτοι

Harpocratio *ἀρκτεῦσαι· τὸ καθιερωθῆναι πρὸ γάμων τὰς παρθένους τῇ Ἀρτέμιδι τῇ Μουνιχίᾳ ἢ τῇ Βραυρωνίᾳ. ὅτι δὲ αἱ ἀρκτευόμεναι παρθένοι ἄρκτοι καλοῦνται . . . Ἀριστοφάνης Λημνίαις καὶ Λυσιστράτῃ* (645).

371

μέταυλος

ἐστὶν ἡ ῥυπαρὰ λεγομένη αὐλή, οὗ ὄρνιθες ἦσαν. Ἀριστοφάνης Λημνίαις καὶ Μένανδρος Θαΐδι. Harpocratio.

372

ναυφύλαξ

Ἀριστοφάνης ἐν Λημνίαις εἴρηκε. Pollux 7, 139.

373

πρῴμος

ὁ πρὸ ὥρας πεπαινόμενος καρπὸς ἐν Λημνίαις Ἀριστοφάνους. Pollux 7, 152. *πρῷον* est quod ante cetera sui generis, *πρῷμον* quod ante suum tempus maturescit. cf. Vesp. 264. Pac. 1164.

374

συκίδας

τὰ φυτευτήρια τῶν σύκων (συκῶν?) Ἀριστοφάνης ἐν ταῖς Λημνίαις. Pollux 7, 152. cf. Ach. 996.

375

φανόν

Schol. Lysistr. 308 φανὸν μὲν πᾶν τὸ φαῖνον ἐκάλουν. ἐκ δὲ τῶν ἀμπελίνων τὰς λαμπάδας κατεσκεύαζον εἰς ἔξαψιν, ὡς καὶ ἐν Λημνίαις φησί. Photius πανός· δέσμη κληματίδων. οἱ δὲ νεώτεροι Ἀττικοὶ φανόν. Ἀριστοφάνης. secum ipse pugnare videtur Photius. in Lysistrata φανός sine varietate, ac nomen proprium Φανός (Φᾶνος) Eq. 1256. Vesp. 1220. contra Menander (63) et Diphilus (6) πανός, quamquam aliquotiens etiam recentiores φανός. discrimen statuit Athen. 15, 700b.

ΝΕΦΕΛΑΙ ΠΡΟΤΕΡΑΙ

Praeter Nubium editores cf. Dindorfius Arist. fr. 15 sq. Fritzschius Q. Arist. 117 extr. 141—143 et De fabulis retract. Wilamowitz. Obs. crit. 10 et quos in Nubium praef. c. III commemoravimus.

376

Εὐριπίδῃ δ' ὁ τὰς τραγῳδίας ποιῶν
τὰς περιλαλούσας οὗτός ἐστι τὰς σοφάς.

Diogenes L. 2, 18. cf. Teleclid. 39. 40.

377

κείσεσθον ὥσπερ πηνίω βινουμένω.

Photius et Suidas πηνίον· ζῷον ὅμοιον κώνωπι· Ἀριστοφάνης Νεφέλαις· κείσεσθον κτλ. ἀντὶ τοῦ ξηροί· σκώπτει γὰρ τοὺς περὶ Χαιρεφῶντα εἰς ξηρότητα καὶ ἀσθένειαν· ὅτι δὲ κώνωπος εἶδός ἐστι Σπεύσιππος ἐν τῷ β' τῶν ὁμοιοτήτων φησὶν οὕτως· πηνίον· ἐμπίς, κώνωψ. κείσεσθον] κείσαισθον cod. Phot. πηνίω βινουμένω Suid.] πηνίωι κινούμενοι cod. Phot. Chaerephontem et Socratem significari existimant. cf. Nub. 104. fidem Photio Suidaeque denegat Dindorfius 18. 19. ad extremam comoediae partem refert Fritzschius Q. Arist. 164. De fab. retr. I 20.

378

δὶς παῖδες οἱ γέροντες

Schol. Plat. 465 Bekk. μέμνηται δὲ αὐτῆς . . . καὶ Ἀριστο-

φάνης Νεφέλαις α'. sed facile errare potuit grammaticus, si quidem ea verba leguntur Nub. 1417.

379

ἐς τὴν Πάρνηθ' ὀργισθεῖσαι φροῦδαι κατὰ τὸν Λυκαβηττόν.

Photius *Πάρνης· τὸ ὄρος θηλυκῶς· ἐς τὴν κτλ. Ἀριστοφάνης Νεφέλαις καὶ ἑξῆς. ἐς τὴν* Porson.] *ἐστὶν. φροῦδαι*] *φροῦδε* cod. Phot. *κατὰ*] *καὶ* Dindf. an *κάς*? 'quod dicit *καὶ ἑξῆς* haud dubie ad versum fabulae superstitis spectavit 323'. Dindorf. quae Fritzschius Q. Arist. 160. 1 Hermannum secutus de Parnethis Lycabettique situ disputat ridicula erunt eis qui terram Atticam suis oculis viderunt.

380

μηδὲ στέψω κοτυλίσκον.

Athenaeus 11, 479c *κοτυλίσκος δὲ καλεῖται ὁ ἱερὸς τοῦ Διονύσου κρατηρίσκος, καὶ οἷς χέονται οἱ μύσται, ὡς Νίκανδρός φησιν ὁ Θυατειρηνός, παρατιθέμενος τὸ ἐκ Νεφελῶν Ἀριστοφάνους κτλ. κοτυλίσκους* Fritzschius Q. Arist. 149. 150, quod ultimo mysteriorum die (*Πλημοχόη* adpellabatur) bina pocula aquae vel vini ad ortum solis unum, ad occasum alterum libabantur, conl. Athen. 11, 496 a. Poll. 10, 74. Hesych. *πλημοχόη*. videtur esse altera pars tetrametri anapaestici. cf. Nub. 426 et de particula *μή* Av. 195.

381

οὐ μετὸν αὐτῷ

ἀντὶ τοῦ οὐκ ἐξόν. Ἀριστοφάνης Νεφέλαις. Suidas. in Eccl. 667 exstare monuit Dindorfius. cf. Fritzsch. Q. Arist. 169.

382

Schol. Pac. 347 (*Φορμίωνος*) *μέμνηται ὁ κωμικὸς ἐν Ἱππεῦσι καὶ Νεφέλαις καὶ Βαβυλωνίοις.*

383

ζυμήσασθαι

Ἀριστοφάνης Νεφέλαις. Bekker. Anecd. 98, 1. Fritzschius *ζημιώσασθαι*. aut *ζυμώσασθαι* (Alexid. Ath. 9, 383c, v. 8) aut *ζωμεύσασθαι* (Aristoph. fr. 591) scribendum videtur.

384

ἠπίαλος

τὸ πρὸ τοῦ πυρετοῦ κρύος. Ἀριστοφάνης Νεφέλαις καὶ Θεσμοφορια-

ζούσαις. Schol. Vesp. 1038. et ibidem πέρυσι γὰρ τὰς Νεφέλας ἐδίδαξεν, ἐν αἷς τοὺς περὶ Σωκράτην ἐκωμῴδησεν. ἠπιάλους δὲ αὐτοὺς ὠνόμασεν, ὡς (εἰς) ὠχρότητα παρασκώπτων. quae et ad Vesparum versum et ad Nubes pertinere possunt.

385

κόλασμα

Ἀριστοφάνης Νεφέλαις. Bekker. Anecd. 105, 2.

386

μετεωρολέσχας

ἐν ταῖς Νεφέλαις (ἔφη) τοὺς φιλοσόφους, ὅτι τὰ οὐράνια περινοοῦσιν. Schol. Pac. 92. cf. Nub. 360.

ΝΗΣΟΙ

Archippo a quibusdam tribuebatur. cf. Mein. I 209, fr. 397 et quae adnotavimus ad Δὶς ναυαγόν. in fragmentis nihil est quod Aristophane sit indignum. ad pacem commendandam scriptam esse chorumque insularum fuisse constat. cf. Πόλεις, Δῆμοι al. ad Ol. 92 incerta coniectura rettulit Bergkius.

387

ὦ μῶρε, μῶρε, ταῦτα πάντ' ἐν τῇδ' ἔνι·
οἰκεῖν μὲν ἐν ἀγρῷ τοῦτον ἐν τῷ γηδίῳ
ἀπαλλαγέντα τῶν κατ' ἀγορὰν πραγμάτων,
κεκτημένον ζευγάριον οἰκεῖον βοοῖν,
ἔπειτ' ἀκούειν προβατίων βληχωμένων
τρυγός τε φωνὴν εἰς λεκάνην ἠθουμένης,
ὄψῳ δὲ χρῆσθαι σπινιδίοις τε καὶ κίχλαις,
καὶ μὴ περιμένειν ἐξ ἀγορᾶς ἰχθύδια
τριταῖα, πολυτίμητα, βεβασανισμένα
ἐπ' ἰχθυοπώλου χειρὶ παρανομωτάτῃ.

Stobaeus Floril. 55, 7 Ἀριστοφάνους Νήσων. pro νήσων cod. Par. Stobaei optimus νησσῶν, ut dubitari possit utrum ad Phoenissas an ad Insulas pertineat. sed Phoenissarum argumento alienum videtur. 2. ἐν ἀγρῷ τοῦτον] ἀργὸν αὐτὸν Bergkius, ἐν ἀγρῷ πρῶτον Meinekius. nihil est quod magis poetae conveniat quam οἰκεῖν μὲν ἁβροδίαιτον ἐν τῷ γηδίῳ. cf. Aesch. Pers. 41. Thuc. 1, 6. Athen. 12, 543d. Blomfield. Gloss. Pers. 41. nam οἰκεῖν ἐν ἀγρῷ ἐν τῷ γηδίῳ quidem manifesto corrupta sunt. 4. οἰκεῖον] οἰκείοιν? 5. προβατίων Grotius] προβάτων. 6. τρυγός ABVoss.]

αἰγός. ἠθουμένης Herwerden. Anal. crit. 29] *ὠθουμένης.* 7. *ὄψῳ — σπινιδίοις* Salmas. Exerc. Plin. 445 (316 ed. alt.)] *ὄψων — πηνιδίοις. δὲ* Gaisf.] *τε.* 10. *ἐπ'*] *ὑπ'* Gaisf.

5. cf. Hor. Epod. 2, 11. 12. 6. *ἠθουμένης.* cf. Ran. 943. Epilyc. 6. Plin. N. h. 18, 322, ubi *colari* scribendum est pro *calcari*.

388

A. τί σὺ λέγεις; εἰσὶν δὲ ποῦ;
B. αἰδὶ κατ' αὐτὴν ἣν βλέπεις τὴν εἴσοδον.

Schol. Av. 296 *εἴσοδος δὲ λέγεται ᾗ ὁ χορὸς εἴσεισιν εἰς τὴν σκηνήν. καὶ ἐν ταῖς Νήσοις κτλ. κατ' αὐτὴν*] *κατὰ ταύτην* V. cf. Nub. 326. viginti quattuor insulas actorem aliquem alteri recensentem fecit ut avium chorum in Avibus, urbium Eupolis in Urbibus.

389

λέξεις ἄρα
ὥσπερ τὰ παιδί', ἔξεχ' ὦ φίλ' ἥλιε.

Suidas *ἔξεχ' ὦ φίλ' ἥλιε· κωλάριόν τι παροιμιῶδες ὑπὸ τῶν παιδίων λεγόμενον, ὅταν ἐπινεφῇ ψύχους ὄντος. Ἀριστοφάνης Νήσοις κτλ.* Eustath. 881, 42. Pollux 9, 123 *ἡ δ' ἔξεχ' ὦ φίλ' ἥλιε παιδιὰ κρότον ἔχει τῶν παίδων σὺν τῷ ἐπιβοήματι τούτῳ, ὁπόταν νέφος ἐπιδράμῃ τὸν θεόν.* cf. Strattid. 46. tristem reipublicae statum significari opinatur Bergkius.

390

ἀλλ' οὐ τυγχάνει
ἐπίδημος ὤν.

Etymol. m. 338, 53 *ἔνδημος· ὁ μὴ ἀποδημῶν· ἐπίδημος δὲ ὁ ἐπιδημῶν ξένος· καὶ παρὰ Ἀριστοφάνει ἐν Νήσοις· ἀλλ' οὐ κτλ. λέγεται δὲ περὶ τοῦ Ποσειδῶνος, ὅτι οὐκ ἐπιδημεῖ Ἰσθμοῖ. κυρίως ἐστὶν εἰρημένον. οὐχ οὕτω γὰρ Ἴσθμιος ὁ θεός, ὡς διὰ παντὸς ἐκεῖ διατρίβειν.* Neptuni partes aliquas fuisse sine idonea causa conicit Bergkius.

391. 392. 393

θλαστὰς ποιεῖν ἐλάας.
οὐ ταὐτόν ἐστιν ἁλμάδες καὶ στέμφυλα.
θλαστὰς γὰρ εἶναι κρεῖττόν ἐστιν ἁλμάδος.

Athenaeus 2, 56 b *μνημονεύει τῶν θλαστῶν ἐλαιῶν Ἀριστοφάνης· θλαστὰς — ἐλαίας. πάλιν· οὐ — στέμφυλα, καὶ μετ' ὀλίγα· θλαστὰς κτλ.* Pollux 6, 45 *θλαστὰς δὲ ἐλαίας ἐν Νήσοις ἂν εὕροις Ἀριστο-*

φάνους. 1. ἐλάας Dindorfius] ἐλαίας. 3. κρεῖττον idem] κρεῖσσον. ἐστιν ἁλμάδος] ἐστιν ἁλμάδας H. Stephan. Thes. I 374 e (ed. Lond. 189 ἁλμάδος). ἔστ' ἤ γ' ἁλμάδας Bergkius. ubi γέ quid sibi velit nescio. ἥπερ ἁλμάδας Herwerden. Anal. crit. 29. cf. Hermipp. 81. θλασταί sunt olivae 'quae sole torrentur'. Bergk.

394

κατ⸗αλιπὼν Παναίτιον πίθηκον

Schol. Av. 440 ἔοικε δὲ Παναίτιον κωμῳδεῖν, ὃν καὶ ἐν Νήσοις κτλ. ἔνθα καὶ μαγείρου πατρὸς αὐτὸν λέγει. πίθηκον δὲ αὐτὸν εἶπε διὰ τὸ πανοῦργον. similiter Suidas διαθήκην διαθώμεθα. Παναίτιον] ἀναίτιον Suidae BV. de *Panaetio* cf. Av. 440 cum interpr.

395

ὡς ἐς τὴν γῆν κύψασα κάτω καὶ ξυννενοφυῖα βαδίζει.

Photius et Suidas ξυννένοφε· ἐπινεφῆ καὶ συννεφῆ καὶ συννέφελά ἐστιν. Ἀριστοφάνης Νήσοις κτλ. Eustath. 127, 28 Ἀριστοφάνης νένοφα εἶπε καὶ οὐ νένοιφα. Hesych. συννένοφεν· ἐσκυθρώπακεν. cf. fr. 46. una ex insulis significatur, quae male tractata ab Atheniensibus maesto vultu incedit.

396

Hesychius Θύρσου κυνῆ· Ἀριστοφάνης ἐν Νήσοις (sic Musur., cod. νήσ . .) οὐ τοῦ αὐλητοῦ μνημονεύων, ἀλλ' ἀντὶ τοῦ φύλλα εἰπεῖν καὶ κλάδους. Θύρσου κυνῆ] θυρσουκύνη cod. idem Hesychius Θύρσος· αὐλητὴς ἦν, γυναῖκα ἔχων ἑταίραν. 'Θύρσου κυνῆ ferri nequit. videtur διττογραφία fuisse Θύρσου γυνή . . . et θύρσου γονή, i. e. *germina, folia tenera. Sepiam*, Thyrsi uxorem, restitui Archippo' (fr. 27) 'vid. R. c. Att. 379'. Bergk. quid esse possit θύρσου γονή, ne admonitus quidem perspicio, sed quod melius sit non habeo.

397

ἀργύρια

Pollux 9, 89 ὡς δ' ἐπὶ τῶν κερμάτων οἱ ἀρχαῖοι Ἀττικοὶ ἥκιστα τῷ ἑνικῷ ἐχρῶντο, οὕτως ἐπὶ τῷ ἀργυρίῳ τῷ πληθυντικῷ· τἀργύρια γὰρ ἐπὶ τοῦ ἀργυρίου σπανίως ἄν τις εὕροι παρ' αὐτοῖς· ἐγὼ δ' εὗρον ἐν ταῖς Νήσοις Ἀριστοφάνους, εἰ μὴ ὑποπτεύεται τὸ δρᾶμα, ὡς Ἀριστοφάνους οὐ γνήσιον. idem 7, 104 εἴρηται δὲ καὶ ἀργύρια ἐν Ἀριστοφάνους Νήσοις.

398

ἔλυμος

σπέρμα τι ὃ ἑψῶντες οἱ Λάκωνες ἤσθιον. Ἀριστοφάνης Νήσοις. Etym. m. 333, 33. cf. Hesych. *ἔλεμος* et *ἔλυμος*.

399

θρᾶνοι, θρανία, θρανίδια

ἐν Νήσοις Ἀριστοφάνους. Pollux 10, 47. incertum est omnia haec an tertium solum in Insulis invenerit.

Cf. etiam fr. 683.

ΟΛΚΑΔΕΣ

Argum. Pacis Ven. *οὐ τοῦτο δὲ μόνον ὑπὲρ εἰρήνης Ἀριστοφάνης τὸ δρᾶμα τέθεικεν* (*καθεῖκεν* Dindf.) *ἀλλὰ καὶ . . . Ὁλκάδας, καὶ πανταχοῦ τοῦτο ἐσπούδακε, τὸν δὲ Κλέωνα κωμῳδῶν τὸν ἀντιλέγοντα καὶ Λάμαχον τὸν φιλοπόλεμον ἀεὶ διαβάλλων.* quae de hac comoedia Bergkius exposuit p. 1113 sq., ea quamquam eleganter et singulariter disputata videntur Wilamowitzio Obs. crit. 20, admodum dubia nituntur Vesparum parabasis interpretatione et neque cum Argumento Pacis neque cum Holcadum fragmentis congruunt: nam fragmentum quidem 411, utpote ex epirrhemate desumptum, ad comoediae argumentum inlustrandum nihil prorsus confert. lacessitos esse Cleonem et sycophantas, quod frumento ex Euboea advecto et largitione frumentaria facta multos cives peregrinae originis crimine accusassent, concedi potest: summam comoediae eam fuisse nego. scilicet fr. 400 reperto paullo certius de Holcadum argumento licet iudicare. ut plurimae comoediae quibus pax commendabatur, ipsae quoque in duas partes erant divisae. ac primum quidem omnes iniuriae criminationesque et Lacedaemoniorum in Athenienses et Atheniensium in Lacedaemonios navibus onerariis utrimque videntur advectae esse in trutinaque positae et examinatae: quo facto cum adparuisset utrasque pariter fere *graves* et *turpes* esse, pax composita est eis condicionibus, quibus utrique gauderent. deinde in altera fabulae parte Dicaeopolis aliquis vel Trygaeus securitate vitae rusticae recepta domum a Lacedaemoniis in bello eversam restituit et ligna ad eam rem necessaria ex saltu adfert. denique domo aedificata amicos vicinosque ad cenam invitat. de tempore non constat.

400

βαβαί, Λάκων· ὡς ἀμφοτέρων ἡμῶν πρὶν ἦν
τὰ πράγματ' οἰσυπηρὰ καὶ βαρύσταθμα.

Etym. m. 619, 12 *οἰσυπηρὰ ἔρια· τὰ ῥυπαρά· καὶ οἴσυπον λέγουσιν. ἀλλ' Ἀριστοφάνης ἐν Λυσιστράτῃ* (575) *οἰσπώτην εἴρηκεν.*

his (post *διαχώρημα*) cod. Flor. Milleri (Mélanges 224. 5) addit *ἐν δὲ Ὁλκάσι· βαβελάκων κτλ. βαβαί, Λάκων* Millerus. *ἡμῶν* Wilam. Obs. crit. 20] *ὑμῶν. πρὶν ἦν* Dindf. Poet scen.[5] p. XIV] *πρινή*. conloquitur Atheniensis cum Lacedaemonio de utrorumque rebus ante pacem compositam sordidis ac molestis.

401

ἰὼ Λακεδαῖμον, τί ἄρα πείσει τήμερα;

Schol. Nub. Ald. 699 *τήμερα· καὶ ἐν Ὁλκάσιν κτλ.* Schol. Homer. Il. 3, 182 *τὰ μέντοι παρὰ τὸ φρὴν συντιθέμενα ἐφύλαξε τὸν τόνον, Λυκόφρον, δαΐφρον. ὅθεν σημειῶδες ἐκεῖνο κατὰ κλητικὴν ἰὼ Λακεδαῖμον Ἀριστοφάνης Ὁλκάσιν.* cf. fr. 296. Herodian. II 40, 12. si etiam in Holcadibus is versus legebatur, non crediderim *Πόλεμον* loqui. nam tali scaenae qualis est in Pace non videtur locus esse in Holcadibus.

402

ἀλλ' ἱμάντα μοι
δὸς καὶ ζμινύην· ἐγὼ γὰρ εἶμ' ἐπὶ ξύλα.

Eustathius 217, 29 *Αἴλιος Διονύσιός φησιν ὅτι . . . καὶ τὴν ζμινύην (λέγουσιν) . . . φέρων καὶ χρῆσιν Ἀριστοφάνους ταύτην κτλ.* Pollux 10, 173 *φαίης δ' ἂν κατ' Ἀριστοφάνην λέγοντα ἐν Ὁλκάσι καὶ παττάλους ἐγκρούειν καὶ σκύταλον ὑποσίδηρον καὶ σμινύας* (sic Bergk. pro *σμινύδας*). idem 7, 148 *τὴν δὲ σμινύην σμινύδιον Ἀριστοφάνης καλεῖ.* unde recte omnia ad Holcadas rettulisse videtur Bergkius. loquitur rusticus ille de quo supra dixi. cf. 403.

403

ἐπεὶ δ' ἐγενόμην οἶπερ ᾖ' ἐπὶ ξύλα.

Photius *ᾖα· δισυλλάβως, τὸ ἐπορευόμην, σὺν τῷ ι γράφεται . . . Ἀριστοφάνης Ὁλκάσιν κτλ.* cf. Suidas *ᾖα* et Gramm. Coisl. Montefalc. p. 234. *οἶπερ ᾖ' ἐπὶ ξύλα* Pors.] *οἶπερῃι* (*ᾔϊ'* Suid.) *ἐπιξύλα* cod. Phot. male Toupius II 85 *ξύλα* *forum lignarium* interpretabatur; tum enim dicendum erat *εἰς τὰ ξ.* — '*lignatum ibam*'. Thuc. 4, 13 *ἐπὶ ξύλα ἐς μηχανὰς παρέπεμψαν τῶν νεῶν τινας ἐς Ἀσίνην.* loquitur rusticus.

404

λόγχαι δ' ἐκαυλίζοντο καὶ ξυστὴ κάμαξ.

Pollux 10, 144 *Ἀριστοφάνης ἔφη ἐν Ὁλκάσι κτλ.* si usquam *λόγχην* pro quavis pertica dici meminissem, ad eundem haec lignatorem referrem. sed pertinebant fortasse ad aliam scaenam.

405. 406

πρὸς τί δὲ τὸν ὀρνίθειον οἰκίσκον φέρεις;

Eustathius 1423, 4 *ἐκ δὲ τοῦ οἴκου καὶ οἰκίσκος παρὰ Ἀριστοφάνει, περδικοτροφεῖον, οἷον κτλ.* Pollux 10, 159 *καὶ οἰκίσκον δὲ ὀρνίθειον καὶ οἰκίσκον περδικικὸν Ἀριστοφάνης ἐν Ὁλκάσιν ἔφη. πρὸς τί δὲ* K.] *τί δέ. τί δαὶ* Brunck., *τί δὴ* Dindf., *ποῖ δὴ* Bergkius. domum recens aedificatam omnibus quae rustico homini necessaria sunt instruit. ceterum *οἰκίσκος ὀρνίθειος* et *περδικικός* (*περδίκειος* Fritzsch. Q. Arist. 75. 6 qui ad Pelargos haec refert) diversi videntur esse. altera est cavea gallinarum (*ὄρνις* enim saepissime gallina est). quae cum inutilis sit rustico ruri habitanti, necessaria domicilium mutanti, haec ad transmigrationem ex urbe in praedium videntur pertinere. fortasse *καὶ τόν γε περδίκειον;* priori versui subiungenda sunt. cf. fr. 441.

407

παῖδες ἀγένειοι, Στράτων

Schol. Acharn. 122 *Στράτων· καὶ οὗτος κωμῳδεῖται ὡς λωβώμενος τὸ γένειον καὶ λειαίνων τὸ σῶμα, ὡς Κλεισθένης, ὥς φησιν αὐτὸς Ἀριστοφάνης ἐν Ὁλκάσι κτλ.* Fritzschius Act. soc. gr. I 143 *παῖδες δ' ἀγένειοι, Κλεισθένης τε καὶ Στράτων.* Bergkius *παῖδες ἀγένειοι, Στράτων | καὶ Κλεισθένης.* quidni uno versu mutatione nulla *καὶ παῖδες ἀγένειοι, Στράτων καὶ Κλεισθένης?* cf. Eq. 1374.

408

πρῴην ἐρανιστὰς ἑστιῶν ἤψησ' ἔτνος.

Photius *ἐρανίσας· Δημοσθένης, ἀντὶ τοῦ ἔρανον αἰτήσας. ἐρανιστὴς μέντοι κυρίως ἐστὶν ὁ τοῦ ἐράνου μετέχων καὶ τὴν φοράν, ἣν ἑκάστου μηνὸς ἔδει καταβάλλειν, εἰσφέρων.* et *ἐρανιστάς· ὡς ἡμεῖς καλοῦσιν. Ἀριστοφάνης Ὁλκάσιν κτλ.* corrupta apud Zonar. I 862. Cram. Anecd. Paris. IIII 135, 21. Etym. m. cod. Milleri (Mélanges 125). *πρῴην*] *πρῶτον* cod. Mill. *ἑστιῶν*] *ἐσθίων* cod. Mill. *ἑστίων* Cram. An. *ἤψησ'*] *ἤψησα* cod. Phot., *ἔψησα* Cram. An. — de *eranis* cf. Ach. 615. Lys. 653. Schoem. Ant. gr.[2] I 375.

409

δάπτοντα, μιστύλλοντα, διαλείχοντά μου
τὸν κάτω σπατάγγην.

Athenaeus 3, 91 c *μνημονεύει δὲ καὶ τῶν σπατάγγων . . . Ἀριστοφάνης ἐν Ὁλκάσιν οὕτως κτλ. ἐχίνων* genus esse antea dixerat. *δάπτοντα* Porson] *δαρδάπτοντα.* Photius *σπατάγγαι· ἰχθύες τινές·*

οἱ δὲ τοὺς μεγάλους ἐχίνους. οὕτως Ἀριστοφάνης. Pollux 6, 47 *ἔνιοι δὲ καὶ πάταγγας καλοῦσιν ἐχίνων τι εἶδος* (*πάταγα* A, *παττάγας* C) Hesych. *σπατάγγαι· οἱ μεγάλοι ἐχῖνοι οἱ θαλάσσιοι.* et *σπαταγγίζειν· ταράσσειν.* res obscaena sine dubio significatur. videntur autem haec referenda esse ad carmen melicum ex trimetris iambicis et ithyphallicis compositum. cf. Athen. 6, 253 d sq.

410

ἀδαχεῖ γὰρ αὐτοῦ τὸν ἄχορ' ἐκλέγει τ' ἀεὶ
ἐκ τοῦ γενείου τὰς πολιάς.

Bekker. Anecd. 474, 31 *ἀχῶρα· τὰ ἐν τῇ κεφαλῇ καὶ τῷ γενείῳ πίτυρα. Ἀριστοφάνης Ὁλκάσιν κτλ.* Photius, Bekker. Anecd. 340, 28, Suidas *ἀδαχεῖν τὸ κνήθειν· ἀδαχεῖ — ἀεί. Ἀριστοφάνης ἐν Ὁλκάσιν.* Etymol. m. 182, 17 *ἀχόρα· ἀρσενικῶς, τὰ ἐν τῇ κεφαλῇ καὶ τῷ γενείῳ πίτυρα. Ἀριστοφάνης· ἀδαχεῖ — γενείου.* Hesych. *ἄχορα· τὰ πίτυρα.* Bekker. Anecd. 6, 25 *ἀχώρ· οἱ μὲν τὸ ἐν τῇ κεφαλῇ πίτυρον· οἱ δὲ τὰ ἐν αὐτῇ ἑλκύδρια, ἃ καὶ κνησμόν τινα παρέχουσιν. ἀδαχεῖ*] *ἀδιεχῇ* Etym. V. *ἀδαχῇ* DP. *ἄχορ'*] *ἀχῶρα* Bekker. *ἀχῶρα* (i. e. *ἀχῶρα* Fritzsch.) cod. Phot. *ἀχόρα* Etym. V. *ἐκλέγει τ' ἀεὶ*] *ἐκλέγεται* Bekker. 475, 1. *ἐκλέγετ' ἀεὶ* Etym. *πολιάς*] *πολίας* Bekker. 475, 1. *τοῦ Διός* add. Bekker. 475, 1, quae orta esse ex *πολιάς* censet Bergkius, concedens tamen scribi posse *τὰς πολιὰς τὰς τοῦ Διός.* Dobraeus Plut. 361 p. 44 *τὰς πολιὰς τουδί.* de accentu nominis *ἄχωρ* cf. Herodian. I 49, 1. II 937, 25. Bergkio Cleon aliquis significari videtur Populo Atheniensium blandiens ut Eq. 908. 910. conl. Theophr. Char. 2 *ἀπὸ τοῦ ἱματίου ἀφελεῖν κροκύδα, καὶ ἐάν τι πρὸς τὸ τρίχωμα τῆς κεφαλῆς ὑπὸ πνεύματος προσενεχθῇ ἄχυρον, καρφολογῆσαι κτλ.* cf. etiam fr. 657. 714. *αὐτοῦ* Dobraeus *ἐν τῇ Πυκνί* interpretatur, Populum ipsum autem (*τουδί*) in scaena adesse censet.

411

ἔστι τις πονηρὸς ἡμῖν τοξότης συνήγορος
ὥσπερ Εὔαθλος . . . . παρ' ὑμῖν τοῖς νέοις.

Athenaeus 4, 160b *κατὰ τὴν Στράττιδος τοῦ κωμῳδιοποιοῦ Ἰοκάστην, ἥτις ἐν ταῖς ἐπιγραφομέναις Φοινίσσαις φησί κτλ.* Aristoteles De sensu 5, 443b 30 *ἀληθὲς γὰρ ὅπερ Εὐριπίδην σκώπτων εἶπε Στράττις ὅταν φακῆν ἕψητε, μὴ ἐπιχεῖν μύρον. οἱ δὲ νῦν μιγνύντες εἰς τὰ πόματα τοιαύτας δυνάμεις βιάζονται τῇ συνηθείᾳ τὴν ἡδονήν, ἕως ἂν ἐκ δύ' αἰσθήσεων γένηται τὸ ἡδὺ ὡς ἓν καὶ ἀπὸ μιᾶς.* Eurip. Phoen. 460 (463). proverbium erat *τοὐπὶ τῇ φακῇ μύρον* de inutili luxuria. Sopater Athen. 4, 160c *Ἰθακὸς Ὀδυσσεὺς τοὐπὶ τῇ φακῇ μύρον | πάρεστι.* confert Meinekius Cic. Att. 1, 19 *L. Flaccus et τὸ ἐπὶ τῇ φακῇ μύρον Lentulus Clodiani filius.* Gell. N. A. 13, 27 *ne existimetis semper atque in omni loco 'mortales multos' pro 'multis hominibus' dicendum, ne plane fiat*

Graecum illud de Varronis satura proverbium τὸ ἐπὶ τῇ φακῇ μύρον. cf. Schneidewin. Paroemiogr. praef. IV. unguenta enim constat veteres pro oleo cibis addidisse. — filios Iocasta adpellat.

46

εἶθ' ἥλιος μὲν πείθεται τοῖς παιδίοις
ὅταν λέγωσιν 'ἔξεχ' ὦ φίλ' ἥλιε'.

Pollux 9, 123 ἡ δὲ ἔξεχ' ὦ φίλ' ἥλιε παιδιὰ κρότον ἔχει τῶν παίδων σὺν τῷ ἐπιβοήματι τούτῳ, ὁπότ' ἂν νέφος ἐπιδράμῃ τὸν θεόν. ὅθεν καὶ Στράττις ἐν ταῖς Φοινίσσαις κτλ. Zonaras 776 ἐξέχειν· ἐπιτεταλκέναι. ἐξέχειν τὸν ἥλιον. ἔξεχ' ὦ φίλ' ἥλιε. Eurip. Phoen. 546 (549) εἶθ' ἥλιος μὲν .νύξ τε δουλεύει βροτοῖς, σὺ δ' οὐκ ἀνέξει δωμάτων ἔχων ἴσον. etiam apud Strattidem sine dubio loquebatur Iocasta. cf. Aristoph. fr. 389.

47

ξυνίετ' οὐδὲν πᾶσα Θηβαίων πόλις.
οὐδέν ποτ' ἄλλ'. οἳ πρῶτα μὲν τὴν σηπίαν
ὀπιτθοτίλλαν, ὡς λέγουσ', ὀνομάζετε,
τὸν ἀλεκτρυόνα δ' ὀρτάλιχον, τὸν ἰατρὸν δὲ
σάκταν, βέφυραν τὴν γέφυραν, τῦκα δὲ
τὰ σῦκα, κωτιλάδας δὲ τὰς χελιδόνας,
τὴν ἔνθεσιν δ' ἄκολον, τὸ γελᾶν δὲ κριδδέμεν,
νεασπάτωτον δ' ἤν τι νεοκάττυτον ᾖ.

Athenaeus 14, 621 f ὅτι δὲ καινουργοῦσι κατὰ τὰς φωνὰς οἱ Θηβαῖοι, Στράττις ἐπιδείκνυσιν ἐν Φοινίσσαις διὰ τούτων κτλ. partem ex Athenaeo excerpsit Eustathius 1818, 2. Photius ὀπισθοτείλαν· τὴν σηπίαν οἱ Βοιώτιοι· ὄπισθεν ἀποτιλῶσαν. Hesychius ὀπισθοτίλα· σηπία. idem κριδδέμεν· γελᾶν. Βοιωτία δὲ ἡ λέξις. 2. ἄλλ'] ἄλλο A. 3. ὀπιτθοτίλλαν] ὀπισθοτίλαν Eustath. et C Athen. inter lineas. at ὀπιτθοτίλα vera Boeotorum forma est. Ahrens De dial. I 177. cf. ἴττω, ἐπιχαρίττως Aristoph. Ach. 833. λέγουσ' Dindorf.] λέγουσιν. 4. quae in codicibus traduntur metro adversantur. τὸν ἰατρὸν δὲ] ἰατρόν γε μὴν Maltby Morell. Lex. prosod. 574. ὀρταλιδέα, τὸν ἰατρὸν αὖ Lobeck. ὀρτάλιχον, ἰατρὸν δὲ δὴ vel ὀρτάλιχα, τὸν ἰατρὸν δὲ δὴ Meinek. 5. βέφυραν Meinek.] βλέφυραν δέ. 7. δὲ κριδδέμεν Valcken. Epist. Roever. LXXVI] δὲ ἐκκριδαίωμεν A. 8. νεοκάττυτον ᾖ Schweighaeus.] νεοκαττυτόνη A.

2. οὐδέν ποτ' ἄλλο '*nihil aliud*, h. e. *ita res est*. Theopomp. 32, 4.' Meinek. 5. σάκταν *saginatorem* interpretatur Eustathius (φορτωτὴς παρὰ τὸ σάττω). βέφυραν non commemorari miror ab Ahrensio De dial. I 172. 8. cum νεασπάτωτον facile conferas quae Lobeckius Phryn. 661 attulit. quod vero Athenaeus poetam

opinatur Thebanis novandi in his rebus studium exprobrare, recte refellit Lobeckius Aglaoph. 849, 'antiquum et oppidanum dicendi morem' eos potius retinuisse monens.

48

οὐ σχοινί', οὐδὲ στραγγαλίδες εἰσί.

Pollux 10, 183 *δεσμῷ δ' ἂν ἐοίκοιεν αἱ στραγγαλίδες, Στράττιδος ἐν Φοινίσσαις εἰπόντος. οὐ* Meinek.] *οὐδὲ.*

49

Erotianus 93, 8 Klein. *λεβηρίδος· ὑμενώδους ἀποσύρματος, ὅπερ ἐστὶ τὸ τῶν ὄφεων λεγόμενον γῆρας, ὡς καὶ Ἀριστοφάνης ἐν Ἀμφιαράῳ καὶ Στράττις ἐν Φοινίσσαις.* cf. Aristoph. fr. 35. sine dubio etiam Strattis uno ex proverbiis illis usus erat.

50

Athenaeus 15, 699ef *γράβιόν ἐστι τὸ πρίνινον ἢ δρύινον ξύλον, ὅπερ ἐθλασμένον (τεθλ.) καὶ κατεσχισμένον ἐξάπτεσθαι καὶ φαίνειν τοῖς ὁδοιποροῦσιν ... μνημονεύει δὲ γραβίων κο ... ἐν Φοινίσσαις.* Schweighaeuserus *καὶ Στράττις ἐν Φοινίσσαις.* at Phoenissas etiam Aristophanis fuisse monet Meinekius. Hesych. *γοβρίαι· φανοί, λαμπτῆρες,* ubi *γράβια* L. Dindorf.

ΧΡΥΣΙΠΠΟΣ

Meinek. I 233. puerorum amores Laii et Chrysippi exemplis videtur exagitavisse. cf. Preller. Mythol.[2] II 343. 7.

51

εἰ μηδὲ χέσαι γ' αὐτῷ σχολὴ γενήσεται,
μηδ' εἰς ἀσωτεῖον τραπέσθαι, μηδ' ἐὰν
αὐτῷ ξυναντᾷ τις, λαλῆσαι μηδενί.

Athenaeus 4, 169a *τὸ μὲν ἀσώτιον ἔχεις παρὰ Στράττιδι ἐν Χρυσίππῳ λέγοντι οὕτως κτλ.* 2. *ἀσωτεῖον* Meinek.] *ἀσώτιον. μηδ' ἐὰν* Dindorf.] *μηδ' ἂν* BP. 3. *μηδενί*] *μηδὲ ἕν* Meinek. Anal. crit. Ath. 80. v. 1 pro *μηδὲ* scribendum videtur *μή*. Hesych. *Ἀσώπιον· τόπος Ἀθήνησι.* videtur adulescentis nescio cuius sors deplorari, a severo patre educati.

52

πρόσαγε τὸν πῶλον ἀτρέμα, προσλαβὼν
τὸν ἀγωγέα βραχύτερον· οὐχ ὁρᾷς ὅτι
ἄβολος ἔτ' ἐστί;

Pollux 10, 55 *Στράττις ἐν Χρυσίππῳ λέγει κτλ.* Bekker. Anecd. 22, 21 *Στράττις δὲ τὸν ἵππου ἱμάντα, ᾧ ἐφέλκεται καὶ ἐπάγεται, ἀγωγέα λέγει.* 3. *ἔτ'* add. Meinekius, ac iam Bentleius, aliter neque tamen melius versibus dispositis, in Epist. Hemsterh. 54. — *ἄβολος*, ut Sophocl. fr. 377 N. Plat. Leg. 8, 834c *μονίπποις ἆθλα τιθέντες πώλοις τε ἀβόλοις*, ubi Schol. *ἄβολος· νέος, οὐδέπω γνώμονα ἔχων. γνώμονα δ' ἔλεγον τὸν βαλλόμενον ὀδόντα, δι' οὗ τὰς ἡλικίας ἐξήταζον.*

53

κοχῶναι

μέμνηται καὶ Στράττις ἐν Χρυσίππῳ. Daremberg. Notices et extr. 215. Erotian. 20, 9 Klein.

Praeterea cf. Lysipp. 9.

ΨΥΧΑΣΤΑΙ

Homines frigus captantes significari iam Casaubonus monuit. Meinek. I 235. Photius et Bekker. Anecd. 317, 19 *ψυχάζουσι· πρὸς τὸ ψῦχος καὶ τὸ πνεῦμα διατρίβουσιν, ἵνα ἀναψυχήν τινα λάβωσιν. ἔστι δὲ ὅμοιον τὸ χειμάζειν.* Athenaeus 11, 503c *Νίκανδρος . . καλεῖσθαί φησι ψυκτήρια καὶ τοὺς ἀλσώδεις καὶ συσκίους τόπους τοὺς τοῖς θεοῖς ἀνειμένους, ἐν οἷς ἔστιν ἀναψῦξαι.* 'nescio an homines quosdam voluptuosos perstrinxerit in locis amoenis otiari et luxuriari solitos.' Lobeck. Aglaoph. 1038.

54

Σαννυρίωνος σκυτίνην ἐπικουρίαν

Athenaeus 12, 551c *περὶ δὲ τοῦ Σαννυρίωνος καὶ Στράττις ἐν Ψυχασταῖς φησι κτλ.* cum Athenaeus *gracilitatem* Sannyrionis exemplis inlustret, non credo Bergkio R. c. Att. 271 Sannyrionem quod obscaenum illud spectaculum, de quo Aristoph. Nub. 538. 9, spectatoribus exhibuerit inrideri, sed cum Dalecampio illum lorica nescio qua, ut corpus plenius videretur, usum esse existimo. Aristophanes Lys. 110 *ὄλισβον* ita dixit.

55

κομίσειέ μοί τις
θυμαλώπων ὧδε μεστὴν ἐσχάραν;

Pollux 10, 101 *καὶ μὴν ἐσχάραν εἴποις ἂν τὸ ἀνθράκιον τοῦτο (τὸν καλούμενον χυτρόποδα) κτλ. . . . ὁ δὲ Στράττις ἐν Ψυχασταῖς φησι κτλ. καὶ εἰσὶν οἱ θυμάλωπες οἱ ἡμίκαυτοι ἄνθρακες.* Elmsleius Aristoph. Ach. 321 *λιβανωτὸν ἔνδοθεν τίς ἂν κομίσειέ μοι | καὶ θυμαλώπων κτλ.* ceterum *ὧδε* est *huc*. cf. Aristoph. fr. 348.

56

(*εἴτε*) *ῥιπίδα*
εἴτε σκιάδειον

Pollux 10, 127 *θολία πλέγμα τι θολοειδὲς ἐπὶ σκιᾷ, καὶ ῥιπίς, καὶ σκιάδιον, ὃ καὶ σκιάδα ἂν εἴποις· οὕτω γὰρ καὶ τὸ Διονύσου σκιάδιον καλεῖται. καὶ πτερὸν δὲ τὸ σκιάδιον οἱ κωμῳδιοποιοὶ καλοῦσι. ὁ δὲ Στράττις ἐν Ψυχασταῖς προειπὼν ῥιπίδα ἐπήγαγε εἴτε σκιάδιον.* prius *εἴτε* add. K. unus ex refrigerationis amatoribus aut flabellum aut umbraculum adferri iubet. fallitur enim Pollux, cum *ῥιπίδα* et *σκιάδειον* idem esse dicit.

57

οἶνον γὰρ πιεῖν
οὐδ' ἂν εἷς δέξαιτο θερμόν, ἀλλὰ πολὺ τοὔναντίον
ψυχόμενον ἐν τῷ φρέατι καὶ χιόνι μεμιγμένον.

Athenaeus 3, 124d *ὅτι δὲ καὶ τὸν οἶνον ἔψυχον ὑπὲρ τοῦ ψυχρότερον αὐτὸν πίνειν Στράττις φησὶν ἐν Ψυχασταῖς κτλ. πολὺ τοὔναντίον*] *πᾶν τοὔναντίον* Meinek. Anal. crit. 57. at cf. Plat. Apol. 39c. *καὶ χιόνι* Porson.] *χιόνι.*

58

αἱ δ' ἀλεκτρυόνες ἅπασαι
καὶ τὰ χοιρίδια τέθνηκε
καὶ τὰ μίκρ' ὀρνίθια.

Athenaeus 9, 373f *τὸν δ' ἀλεκτρυόνα οἱ ἀρχαῖοι καὶ θηλυκῶς εἰρήκασι . . . Στράττις Ψυχασταῖς κτλ.* v. 1. 2 Eustathius 1479, 28.

59

ὁ δέ τις ψυκτῆρ', ὁ δέ τις κύαθον
χαλκοῦν κλέψας ἀπορῶν κεῖται,
κοτύλῃ δ' ἀνὰ χοίνικα μάττει.

Athenaeus 11, 502e *Στράττις Ψυχασταῖς κτλ.* 3. *κοτύλῃ δ'* B] *κοτυλίδ'. κοτύλῃ δ'* Dobraeus Advers. II 335 'prae inopia mensuram sui panis adeo contrahit, ut pro quaque choenice tantum cotylen ponat'. non intellego.

ΑΔΗΛΩΝ ΔΡΑΜΑΤΩΝ

60

γαλῆν ὁρῶ. Β. ποῖ, πρὸς θεῶν, ποῖ ποῖ γαλῆν;
Α. γαλῆν'. Β. ἐγὼ δ' ᾤμην σε γαλῆν λέγειν ὁρῶ.

Schol. Arist. Ran. 303 Ald. τοῦτον (Ἡγέλοχον) δὲ καὶ ὡς ἀτερπῆ τὴν φωνὴν Πλάτων σκώπτει. καὶ Στράττις κτλ. Schol. Eurip. Orest. 279 ἐκ κυμάτων γὰρ αὖθις αὖ γαλήν' ὁρῶ· Στράττις ἐν Ἀνθρωπορραίστῃ . . . καὶ ἐν ἄλλοις παίζων φησί κτλ. personarum notas add. Meinekius. cod. M schol. Eur. γαλήν' ὁρῶ· ποῖ ποῖ πρὸς θεῶν ποῖ ποῖ. γαλήν' γαλῆν ἐγὼ δὲ ᾤμην σε γαλήν λέγειν ὁρῶ. cod. A γαλὴν ὁρῶ ποῖ πρὸς θεῶν ποῖ ποῖ χρῆ με παρᾶ θέλημα ποιεῖν γαλὴν γαλῆνα ἐγὼ δὲ ᾤμην σε γαλὴν λέγειν ὁρᾷς. B γαλῆν ὁρῶ ποῖ ποῖ πρὸς θεῶν. ποῖ ποῖ γαλῆν γαληνά. ἐγὼ δὲ ᾤμην σε γαλῆν λέγειν ὁρῶ. I (om. γαλῆν ὁρῶ) ποῖ ποῖ γαλῆν ὁρῶ. ποῖ ποῖ πρὸς θεῶν, γαλῆν γαληνά, nihil amplius. Ald. Aristoph. ποῖ ποῖ, πρὸς θεῶν, ποῖ ποῖ γαλὴν γαληνά, ἐγὼ δὲ ᾤμην σε γαλῆν λέγειν ὁρῶ. difficillimum est dicere quid scripserit Strattis, inprimis propter Euripidis codicem A. v. 2 Dindorfius ἐγὼ δ' ᾤμην γαλῆν λέγειν σ' ὁρᾶν, qui est versus pessimus. ego ex cod. A haec elici posse puto *B.* ποῖ, πρὸς θεῶν, ποῖ ποῖ με χρὴ | παράγειν, ἐὰν θέλῃ με καταπιεῖν γαλῆ; cf. fr. 1. Sannyrion. 8 et interpr. Ran. 303.

61

οἶνος κοχύζει τοῖς ὁδοιπόροις πιεῖν
μέλας Σκιάθιος ἴσον ἴσῳ κεκραμένος.

Athenaeus 1, 30 f Στράττις δὲ τὸν Σκιάθιον ἐπαινεῖ κτλ. Eustathius 1770, 10 non adiecto poetae nomine. inepte autem interpretatur τὸ δὲ κοκκύζειν κωμικῶς ἀντὶ τοῦ ᾄδειν ἀπὸ τοῦ κόκκυγος. οἶνος] οἶνος δὲ Eust. κοχύζει Meinek.] κοκκύζει vel κοκκίζει. τοῖς ὁδοιπόροις πιεῖν] τοὺς ὁδοιπόρους ποιεῖ Eust. — infinitivum posuit ut Pherecr. 130, 5. κοχύζειν (i. e. κοχυδεῖν) Meinekius formatum putat a κόχυ (Hesych. κόχυ δ' ἔρρει), ut γρύζειν a γρῦ cet.

62

τί δ' ὥσπερ οἱ σταδιοδρόμοι προανίστασαι;

Pollux 3, 146 τὸ δὲ προεκπηδᾶν προανίστασθαι Στράττις εἶπε κτλ. τί δ' K.] τί ὅτι. Meinekius τί ποθ'. at alterum τι ex dittographia ortum est. stadii cursores ad signum datum celerrime exsiliunt, ne aemuli praecurrant.

63

τὰ θυγάτρια
περὶ τὴν λεκάνην ἅπαντα περιπεπλιγμένα

Pollux 2, 173 τὸ διαβαίνειν οἱ ποιηταὶ ἀμφιπλίσσειν λέγουσι, καὶ τὸ περιβάδην ἀμφιπλίξ . . . καὶ Στράττις κτλ., τουτέστι διηχότα (fort. περιηχότα) τὰ σκέλη. Hesych. περιπεπλιγμένα· περιπεπλεγμένα τοῖς σκέλεσιν. οἱ γὰρ ἀλεῖπται τὸ βῆμα πλίγμα λέγουσιν. idem περιπεπλίχθαι· διηλλαχέναι τὰ σκέλη ἀσχημόνως. cf. Cobet. Mnem. VIII 55—57 et quae adnotavimus ad Aristoph. fr. 198, 3.

64

Hesychius *κολεκάνοι· τοῦτο ἐπὶ μήκους σὺν λεπτότητι ἐτάσσετο. Στράττις ἐν τῷ φορτικῷ δραματίῳ τοὺς τί οὐκ ἄξει τις ἔξω τὴν ἀποῦσαν μητέρα τῶν διδύμων κολέκαν λέγων.* idem *κολοκάνοι· εὐμήκεις καὶ λεπτοί.* et *κολεκάνοι* et *κολοκάνοι* ex *κολοκάνναβοι* corruptum esse existimat Meinekius. cf. Lobeck. Pathol. prol. 286. — *ποῦ στιν; οὐκ ἄξει τις ἔξω | τὴν ἀποῦσαν μητέρα | τῶν διδύμων κολοκαννάβων* Herwerdenus Stud. crit. 82, versibus trochaicis mirum in modum cum logaoedico coniunctis. videntur trimetri esse *ποῦ 'στιν; οὐκ ἄρα | ἄξει τις ἔξω τὴν ἄμουσον μητέρα | τὴν τῶν διδύμων κολοκανάβων.* sic enim scribendum esse arbitror. cf. Aristoph. fr. 699. Strattid. 20. ad Cinesiam refert Meinek. II 769.

65

Etymol. m. 803, 47 *φῴζειν σὺν τῷ ῑ σημαίνει τὸ καίεσθαι* (*καίειν* Toup.). *Στράττις ἀλλ' εἰ μέλλεις ἀνδρείως φῴζειν ὥσπερ μύστακα σεαυτόν.* Zonaras 1838 *φῴζω τὸ καίω σὺν τῷ ῑ Στράττις· ἀλλ' εἰ μέλλεις ἀνδρείως φῴζειν.* Porsonus Append. Toupii Emend. 506 *ἀλλ' εἰ μέλλεις εὖ κἀνδρείως | φῴζειν ὡς μύστακα σαυτόν.* Reisigius coniect. 313 *ἀλλ' εἰ μέλλεις, εὖ κἀνδρείως | φῴζειν ὥσπερ μύστακα σαυτόν.* cf. Aristoph. Eq. 379. Vesp. 153. 450. Meinekius *ἀλλ' εἰ μέλλεις ἀνδρείως | φῴζειν ὥσπερ μύστακα σαυτόν.* vocis *μύσταξ α* corripitur Antiphan. 44, 4. cf. Bekker. Anecd. 108, 28 *μύστακα· βραχέως. Εὔβουλος Τιτθῇ.* quid vero haec significent *aliquem tamquam barbam urere*, cum praesertim barbam urere Graeci (praeter Dionysium) non consueverint, ego quidem nescio.

66

πρασοκουρίδες, αἳ καταφύλλους
ἀνὰ κήπους πεντήκοντα ποδῶν
ἴχνεσι βαίνετ', ἐφαπτόμεναι
ποδοῖν σατυριδίων μακροκέρκων,
χοροὺς ἑλίσσουσαι παρ' ὠκίμων
πέταλα καὶ θριδακινίδων
εὐόσμων τε σελίνων

Athenaeus 2, 69a *θριδακινίδας δ' εἴρηκε Στράττις κτλ. καταφύλλους* Valcken. Diatr. 231] *κατ' εὐφύλλους. σατυριδίων*] *σατυρίδων* B. ex interpolatione ortum videtur v. 4 *ποδοῖν*, post *ποδῶν* v. 2 molestissimum. v. 5 pro *παρ'* recte *κατ'* Herwerden. Mnem. nov. VI 59. in *θριδακινίδων* producendum *ι* primae syllabae, *α* corripiendum. Theophr. H. pl. 7, 5, 4 *θηρία δὲ γίνεται ταῖς μὲν ῥαφανίσι ψύλλαι, τῇ δὲ*

ῥαφάνῳ κάμπαι καὶ σκώληκες, καὶ ἐν τῇ θριδακίνῃ . . . αἱ πρασοκουρίδες. Hesych. *πρασοκουρίς· ζῷον χλωρόν, κεῖρον τὰ ἐν τοῖς κήποις λάχανα.* Photius *πρασοκουρεὶς· χλωροί.* cf. Aelian. N. a. 9, 39. Pallad. R. r. 1, 35, 13. *σατυρίδια* satyriscos interpretatur Meinekius I 236, animalcula caudata in ed. mai., erucas ipsas Schneider. Aristot. H. an. III p. 349, similitudinem satyrorum referens 'ad cornu aliquod in postremo corpore erucae exstans', caudae simile. de *ocimo* cf. Fraas. Synops. plant. 183. videtur esse parodia cantici Euripidei, qualis est Aristoph. Ran. 1309 sq. etiam metrum simile est.

67

βοῦς ἐμβαίνει μέγας

Στράττις εἶπε παρὰ τὴν παροιμίαν τὴν 'βοῦς ἐπὶ γλώττῃ'. Hesych. *ἐπεμβαίνει* Meinek. — Hesych. *βοῦς ἐπὶ γλώσσῃ· παροιμία ἐπὶ τῶν μὴ δυναμένων παρρησιάζεσθαι.* Aesch. Ag. 36 *βοῦς ἐπὶ γλώσσῃ μέγας βέβηκεν.*

68

Hesychius *Κάλχας· Στράττις τὸν ποταμόν φησιν, ὅς ἐστι τῆς Χαλκίδος* (*τῆς Χαλκηδονίας* vel *Χαλκηδονίδος* Meinekius). praeterea Meinekius *Καλχηδών* pro *Κάλχας*. Arrian. Eustath. Dionys. 803 *ἐπώνυμός ἐστιν ἡ Χαλκηδονίων πόλις τῷ Κρόνου υἱῷ Χαλκηδόνι, ἀφ' οὗ πρῶτα μὲν ὁ ἐκεῖ που ῥέων ποταμὸς ἐκλήθη Χαλκηδών.* Steph. Byz. *Χαλκηδών· ἐκλήθη δὲ ἀπὸ Χάλκιδος* (*Χαλκηδόνος* Meinek.) *τοῦ παρακειμένου ποταμοῦ.*

69

Schol. Eurip. Hec. 468 Dind. *ὅτι δὲ κρόκινός ἐστι καὶ ὑακίνθινος (ὁ τῆς Ἀθηνᾶς πέπλος) καὶ τοὺς γίγαντας ἐμπεποίκιλται, δηλοῖ Στράττις.* videtur pertinere ad Macedones. cf. fr. 30.

70

Zenob. 5, 35 *ὁ σκνὶψ ἐν χώρᾳ· ἐπὶ τῶν ταχέως μεταπηδώντων ἡ παροιμία εἴρηται. σκνὶψ γάρ ἐστι θηρίδιον ξυλοφάγον, ἀπὸ τόπου εἰς τόπον μεταπηδῶν. μέμνηται ταύτης Στράττις.* at Photius *σκνὶψ ἐκ χώρας.* 'volucre animal simile culici', 'tinea aut blatta'. Lobeck. Phryn. 398. 9. etiam *σκνὶψ ἐν χώρᾳ* recte dici poterat per ironiam, ut *ἀδύνατον.* quamquam ei qui in loco suo remanent proprie dicuntur *ἔχειν κατὰ χώραν.*

71

γαλῇ χιτώνιον

Zenobius 2, 93 *ὁμοία ἡ παροιμία αὕτη τῇ 'οὐ πρέπει γαλῇ*

κροκωτόν', ἐπειδὴ γαλῆ κατὰ πρόνοιαν Ἀφροδίτης γυνὴ γενομένη ἐν χιτῶνι κροκωτῷ οὖσα ἐπέδραμε μυί. μέμνηται ταύτης Στράττις. cf. Diogenian. 3, 82. Plut. Proverb. 101. plenum fortasse erat οὐ πρέπει γαλῇ κροκωτόν, οὐ χιτώνιον γαλῇ.

72

ἀπεμυθήσω

ἀντὶ τοῦ ἀπελογήσω. Στράττις. Bekker. Anecd. 421, 14 et Suidas. Στράττις] κρατ: cod. Bekkeri. στράττης Eudemus.

73

γελάσιμον

Phryn. Ecl. 226 Στράττιν μέν φασι τὸν κωμῳδιοποιὸν εἰρηκέναι τοὔνομα, ἀλλ' ἡμεῖς οὐ τοῖς ἅπαξ εἰρημένοις προσέχομεν τὸν νοῦν, ἀλλὰ τοῖς πολλάκις κεχρημένοις· κέχρηται δὲ τὸ γελοῖον. cf. Lobeck. p. 227.

74

διατράμιν

Pollux 2, 184 καὶ λισπόπυγοι, ἐφ' ᾧ μάλιστα Ἀθηναῖοι κωμῳδοῦνται. τὴν δὲ ὧδε ἔχουσαν διατράμιν Στράττις ὠνόμασε. Hesych. διάτραμις· διερρωγὼς τὴν τράμιν, τὸν ἀπὸ ὀσχέου ἐπὶ τὰ ἰσχία τόπον. τράμις γὰρ τὰ ἰσχία. 'descripsisse videtur Strattis anum cui hiabat turpis inter aridas nates podex. Hor. Epod. 8, 5.' Meinek.

75

δυσόμοια

ἀνόμοια. Στράττις. Suidas.

76

Bekker. Anecd. 85, 8 ἐκβῆσαι δέ φασι δεῖν λέγειν καὶ καταβῆσαι, οὐκ ἐκβιβάσαι. Στράττις. 'post ἐκβιβάσαι supplendum videtur καὶ καταβιβάσαι.' Meinekius. utrum dixerit Strattis non adparet.

77

λελεπασμένον

πεπεμμένον. οὕτως Στράττις. Photius. Hesychius λελεπασμένον· εἰς πέψιν ἧκον. λελεπισμένον Pearson. Advers. II 468. λελεμμένον· λελεπισμένον Cobet. Mnem. VIII 30. at scribendum est λελοπασμένον· πεπεμμένον. scilicet λοπάζειν formatum est a λοπάς, ut ταγηνίζειν (τηγανίζειν) a τάγηνον (τήγανον).

78

ὁμοπτέρους

Στράττις τοὺς ὁμήλικας εἴρηκεν. Pollux 6, 156. cf. Aristoph. Av. 229. Eurip. El. 530.

79

ἡ προγονός

παρὰ Στράττιδι. Pollux 3, 27.

80

τρῶγες

θηρία τὰ ἐν τοῖς ὀσπρίοις. οὕτως Στράττις. Photius.

ΘΕΟΠΟΜΠΟΣ

Meinek. I 236—244.

ΑΔΜΗΤΟΣ

Provectum aetate poetam hanc fabulam scripsisse ex fr. 1 conligit Meinekius I 239; non ante Ol. 100 eam actam esse censet Bergkius R. c. Att. 407.

1

Athenaeus 15, 690 a *μνημονεύει τοῦ μυροπώλου τούτου, τοῦ Πέρωνος, καὶ Θεόπομπος ἐν Ἀδμήτῳ καὶ Ἡδυχάρει.* de *Perone* unguentario cf. Antiphan. 35. Anaxandr. Athen. 12, 553 d.

Ad Admetum praeterea fr. 75 refert Bergkius R. c. Att. 405.

ΑΛΘΑΙΑ

Tempus comoediae quodammodo definitur eo quod Telestes Selinuntius, poeta dithyrambicus (fr. 3), a Diodoro 14, 46 floruisse dicitur Ol. 95. Meinek. I 238. 9. de argumento cf. fr. 2.

2

τὴν οἰκίαν γὰρ εὗρον εἰσελθὼν ὅλην
κίστην γεγονυῖαν φαρμακοπώλου Μεγαρικοῦ.

Pollux 10, 180 *κίσται . . . καὶ αἱ τῶν φαρμακοπωλῶν ἂν καλοῖντο . . . ὥσπερ που καὶ Θεόπομπος ἐν Ἀλθαίᾳ κτλ.* cf. Aristoph. fr. 28. 'Althaeae aedes dicere videtur magicis artibus Meleagri interitum aversurae. de pharmacopolis Megaricis aliunde nihil constat.' Meinek.

3

λαβοῦσα πλήρη χρυσέαν μεσόμφαλον
φιάλην· Τελέστης δ' ἄκατον ὠνόμαζέ νιν.

Athenaeus 11, 501 f *Θεόπομπος δ' ἐν Ἀλθαίᾳ ἔφη κτλ. ὡς τοῦ Τελέστου ἄκατον τὴν φιάλην εἰρηκότος.* Bekker. Anecd. 371, 5 *ἄκατος· φιάλη, διὰ τὸ ἐοικέναι στρογγύλῳ πλοίῳ. οὕτω Θεόπομπος. χρυσέαν* Pierson. Moer. 413] *χρυσέων. χρυσίων* Valcken. Herod. 3, 130. *Τελέστης* Casaub.] *τελεστής. ἄκατον* Porson. Eurip. Med. 140, XII p. 408 ed. Lips.] *ἄκρατον. ὠνόμαζέ νιν* Porson.] *ὠνόμαζεν ἵν'* A. tragici nescio cuius versus traduci formae *χρυσέαν* et *νιν* docent. *Telestae* Selinuntii (Diodor. 14, 46 extr.) fragmenta conlegit Bergkius in Poet. lyr. — risus ex eo captatur quod Telestes Althaeae sacrificio interfuisse dicitur: eam enim significari recte Meinekius monuit.

ΑΦΡΟΔΙΣΙΑ

Aphrodisia a meretricibus potissimum celebrabantur. Athenaeus 13, 574 b. 597 e. Plaut. Poen. 1, 1, 62. 2, 44. 3, 5, 13. 4, 3, 14. unde facilis est de argumento fabulae coniectura. Meinek. I 239. fortasse Corinthiarum Aphrodisia significari monet Bergkius R. c. Att. 339. 340. 396 sq.

4. 5

ὄνος μὲν ὀγκᾶθ' ὁ Μελιτεὺς Φιλωνίδης.
ὄνῳ μιγείσης μητρὸς ἔβλαστεν πόλει.

Schol. Aristoph. Plut. 179 *κωμῳδεῖται δὲ (Φιλωνίδης) ὡς εὔπορος* (?) *καὶ ὡς μέγας τῷ σώματι καὶ ἠλίθιος . . . Θεόπομπος Ἀφροδισίοις κτλ. ὀγκᾶθ'*] *ὠγκᾶθ'* Bergk. R. c. Att. 400. *Μελιτεὺς* Bentl.] *μελίτου* Ald. *ἔβλαστεν πόλει* Meinek.] *ἔβλαστε τῇ πόλει.* duo fragmenta esse statuit Meinekius, aut *ὄνῳ δὲ* aut *ὃς ὄνῳ* scribebat Bergkius. fortasse duo conloquuntur: tum scribendum *ὄνῳ γε.* de *Philonide* disputaverunt Hanovius Exercit. crit. 27. 34 et Bergkius R. c. Att. 400—405, asini nomen non tam ad magnitudinem quam ad oris corporisque turpitudinem referens. de syntaxi verborum *ὄνος ὀγκᾶται* cf. Cratin. 52.

6

ἀλλ' ἔντραγε
τὴν σηπίαν τηνδὶ λαβοῦσα καὶ τοδὶ
τὸ πουλυπόδειον.

Athenaeus 7, 324 b *Θεόπομπος Ἀφροδίτῃ κτλ. τηνδὶ λαβοῦσα* BC] *τὴν διαλαβοῦσαν* P. *πουλυπόδειον* Dindorf.] *πουλυπόδιον* A. cf. Bergk. R. c. Att. 396. non necesse est cum Meinekio de Amphidromiis cogitari.

ΒΑΤΤΛΗ

Schol. Aristoph. Plut. 1011 et Suidas *νιτάριον· τὰς μικρὰς δὲ θηλείας βατύλας ἔλεγον, καὶ Θεοπόμπου δρᾶμά ἐστι Βατύλη. βατύλας* Suid.] *βατύλους*. frustra Hemsterhusius *βατάλας* et *Βατάλη*. quamquam in illo scholio multa sunt ambigua, de Batyle Theopompi non videtur dubitari posse. ceterum cf. Meinek. I 239. 40.

ΕΙΡΗΝΗ

Similis sine dubio fuit Aristophaneae. Meinek. I 240.

7

ἡμᾶς δ' ἀπαλλαχθέντας ἐπ' ἀγαθαῖς τύχαις
ὀβελισκολυχνίου καὶ ξιφομαχαίρας πικρᾶς.

Pollux 10, 118 *τὸ δὲ ὀβελισκολύχνιον στρατιωτικὸν μέντοι χρῆμα, εἴρηται δὲ ὑπὸ Θεοπόμπου τοῦ κωμικοῦ ἐν Εἰρήνῃ κτλ.* Athenaeus 15, 700e *καὶ τάχα τούτῳ* (*ξυλολυχνούχῳ*) *ὅμοιόν ἐστι τὸ παρὰ Θεοπόμπῳ ὀβελισκολύχνιον.* Eustathius 1571, 22. Pollux 6, 103 *τὸ δὲ παρὰ Θεοπόμπῳ ὀβελισκολύχνιον, τὸ μὲν σκεῦος ἦν στρατιωτικόν, τὸ δὲ ὄνομα ὑπομόχθηρον.* ut *ξιφομάχαιρα* gladius simul et culter est, sic *ὀβελισκολύχνιον* veru cum lychno coniunctum. aut protagonistam aut coryphaeum haec composita pace dixisse consentaneum est. ridicule in C. Th. Muelleri Fragm. hist. gr. haec ad rerum scriptorem referuntur I 329.

8

ὁ μὲν ἄρτος ἡδύ, τὸ δὲ φενακίζειν προσὸν
ἔμβαμμα τοῖς ἄρτοις πονηρὸν γίγνεται.

Athenaeus 9, 368c *οἱ δὲ Ἀττικοὶ καὶ ἔμβαμμα λέγουσιν, ὡς Θεόπομπος ἐν Εἰρήνῃ κτλ. μὲν* Porson.] *μὲν γάρ*. Iacobs. Addit. Ath. 198 *ἄρτος* interpretis esse ratus *ὁ μὲν γὰρ ἡδύς*.

9

ἄχθομαι δ' ἀπολωλεκὼς
ἀλεκτρυόνα τίκτουσαν ᾠὰ πάγκαλα.

Athenaeus 9, 374b *καὶ Θεόπομπος δ' ἐν Εἰρήνῃ ἐπὶ τῆς θηλείας ἔταξε τὸν ἀλεκτρυόνα λέγων οὕτως κτλ.* Schol. Aristoph. Nub. 663 *οἱ Ἀττικοὶ οὕτω καὶ τὰς θηλείας ἐκάλουν, ὡς καὶ Θεόπομπος.*

10

χλαῖναν δέ σοι
λαβὼν παχεῖαν ἐπιβαλῶ Λακωνικήν.

Pollux 10, 124 *τὴν χλαῖναν δὲ οὕτως ἐκάλουν οἱ τῆς κωμῳ-*

δίας ποιηταί, μόνα τὰ παχέα ἱμάτια ταύτης τῆς προσηγορίας ἀξιοῦντες, ὥσπερ καὶ Θεόπομπος ἐν Εἰρήνῃ κτλ. δὲ add. Bentleius.

11

μᾶζαι, πλακοῦντες, ἰσχάδες Τιθράσιαι

Athenaeus 15, 652 f *Θεόπομπος δ' Εἰρήνῃ τὰς Τιθρασίας ἐπαινῶν ἰσχάδας φησὶν οὕτως κτλ.* cf. Aristoph. Ran. 477. videtur ubique scribendum esse *Τειθράσιαι*. cf. Kirchhoff. I. A. 179. H. Roehl. Ind. C. I. p. 13.

12

μητρυιόν

τοῦτον (τὸν πατρῳὸν) . . . κέκληκε καὶ Θεόπομπος ὁ κωμικὸς ἐν Εἰρήνῃ. Pollux 3, 27. Photius *μητρυῖον* (sic) · *Θεόπομπος τὸν πατρῳόν (πατρυῖον).* Eustathius 560, 14 *καὶ μητρυιὸν οἱ παλαιοί φασι τὸν πατρῳόν, ἀρρενωνυμοῦντες τὴν μητρυιάν, καὶ λέγει οὕτω Θεόπομπος.*

Praeterea ad Pacem fr. 65 rettulit Meinek. I 240, dubitans tamen ipse II 820.

ΗΔΥΧΑΡΗΣ

Tempus quodammodo definitur fr. 15 et 16. 'hominem deliciis . . . deditum, fortasse Platonem significare voluit.' Meinek. I 240. 289.

13

καὶ στῆτ' ἐφεξῆς κεστρέων νῆστις χορὸς
λαχάνοισιν ὥσπερ χῆνες ἐξενισμένοι.

Athenaeus 7, 308 a *κατὰ τὸν Θεοπόμπου Ἡδυχάρην κτλ. καὶ στῆτ'*] 'melius alii libri *ὦ στῆτ'*.' Casaub. — imperativum fortasse Athenaeus, ut suis poetae verba insereret, novavit; Theopompus scripsisse potest *ἔστη δ'*. cf. Aristoph. fr. 156. Plat. 29. Amips. 1. Archipp. 12. cestrei ieiuni metaphorice dicuntur qui ut anseres nihil nisi olus cenaverunt.

14

φέρε σὺ τὰ καταχύσματα
ταχέως κατάχει τοῦ νυμφίου καὶ τῆς κόρης.
B. εὖ πάνυ λέγεις.

Schol. Aristoph. Plut. 768 et Suidas *καταχύσματα· ἁπλῶς τῶν ἐφ' ὧν οἰωνίσασθαί τι ἀγαθὸν ἐβούλοντο,* (inserenda sunt *μάλιστα δὲ τῆς νύμφης*) *καὶ τοῦ νυμφίου, παρὰ τὴν ἑστίαν τραγήματα κατέχεον εἰς σημεῖον εὐετηρίας· ὡς καὶ Θεόπομπός φησιν ἐν Ἡδυχάρει κτλ.* Photius 145, 10 *κατεχεῖτο δὲ (τὰ καταχύσματα) καὶ τῷ νυμ-*

φίῳ, φασίν, ὡς Θεόπομπος. cf. Harpocratio 108, 4 ὅτι τῶν νεωνήτων οἱ δεσπόται τραγήματα κατέχεον, Ἀριστοφάνης Πλούτῳ δηλοῖ. ὅτι δὲ καὶ τῶν ἀπὸ θεωρίας καὶ τῶν νυμφίων, [ὡς] Θεόπομπος Ἡδυχάρει. φέρε] φέρε δὴ Dobraeus, quod non necessarium est. τὰ om. Par. εὖ πάνυ λέγεις Dindorfius add. ex Θ et Suida. 'nisi ex Aristophanis v. 800 inlatum credere malis.'

15

ἓν γάρ ἐστιν οὐδὲ ἕν,
τὰ δὲ δύο μόλις ἕν ἐστιν, ὥς φησιν Πλάτων.

Diogenes Laert. 3, 26 Θεόπομπος ἐν Ἡδυχάρει κτλ. Hesychius Milesius p. 46. indicavit Meinekius significari Platonis Phaedonem 96e οὐκ ἀποδέχομαι ἐμαυτοῦ οὐδὲ ὡς, ἐπειδὰν ἑνί τις προσθῇ ἕν, ἢ τὸ ἓν ᾧ προσετέθη δύο γέγονεν, ἢ τὸ προστεθὲν καὶ ᾧ προσετέθη διὰ τὴν πρόσθεσιν τοῦ ἑτέρου τῷ ἑτέρῳ δύο ἐγένετο.

16

Athenaeus 15, 690a μνημονεύει τοῦ μυροπώλου τούτου, τοῦ Πέρωνος, καὶ Θεόπομπος ἐν Ἀδμήτῳ καὶ Ἡδυχάρει.

ΘΗΣΕΥΣ

Tempus quodammodo definitur fr. 18. Meinek. I 240.

17

ἵξει δὲ Μήδων γαῖαν, ἔνθα καρδάμων
πλείστων ποιεῖται καὶ πράσων ἀβυρτάκη.

Bekker. Anecd. 323, 29 ἀβυρτάκη ὑπότριμμα βαρβαρικὸν ἐκ δριμέων σκευαζόμενον, φημὶ ἐκ καρδάμων καὶ σκορόδων καὶ σινάπεως καὶ σταφίδων, ᾧ πρὸς κοιλιολυσίαν ἐχρῶντο. Θεόπομπος Θησεῖ κτλ. Eustathius 1854, 18 παρὰ Θεοπόμπῳ ἀβυρτάκη ὑπότριμμά τι δριμὺ βαρβαρικὸν διὰ πράσων καὶ καρδάμων καὶ κόκκων ῥόας καὶ ἑτέρων τοιούτων. φησὶ γοῦν κτλ. cf. Suid. ἀβυρτάκη. ἵξει Bernhardy] ἵξῃ Bekk. An. ἥξει Eustath. ἵξει pro ἀφίξει dixit in manifesta tragicorum imitatione. ac sic γαῖαν pro ἐς γῆν. Theseum a populari aliquo homine patria expulsum Bergkius R. c. Att. 409, ex orco redeuntem ab Hercule quod iter sit instituendum doceri Dobraeus existimat Advers. II 318. mihi pro πλείστων necessario scribendum videtur πλείστη.

18

Plutarchus Mor. 839f μνημονεύει δὲ (Ἰσαίου) Θεόπομπος ὁ κωμικὸς ἐν τῷ Θησεῖ.

19

φαυλίων μήλων

μνημονεύει . . . καὶ Θεόπομπος ἐν Θησεῖ. Athenaeus 3, 82 c. cf Teleclid. 4.

20

αὐτόκακος

οἷον ἑαυτὸν κολάζων. Θεόπομπος Θησεῖ. Bekker. Anecd. 83, 6.

ΚΑΛΛΑΙΣΧΡΟΣ

Non significatur Critiae pater. Meinek. I 240. idemne sit ille Callaeschrus, qui inter quadringentos commemoratur Lys. 12, 66, et pro quo Lysias, contra quem Dinarchus orationes scripserunt, nescio. Theopompi Callaeschrus potest etiam nomen fictum esse in hominem specie pulchrum, mente turpem. cf. *Ἡδυχάρης*.

21

οὔ φησιν εἶναι τῶν ἑταιρῶν τὰς μέσας
στατηριαίας.

Pollux 9, 59 *τὰ δὲ στατῆρος ἄξια στατηριαῖα φαίης ἄν, ὡς Θεόπομπος ἐν Καλλαίσχρῳ. οὔ φησιν] οὔ φασιν* Meinek. 'quae de urbe dicta videntur, in qua meretrices magno pretio noctes vendebant, ut vel mediocres statera exigerent. Epicrat. 3, 16. 22.'

22

ἠρίσταμεν· δεῖ γὰρ συνάπτειν τὸν λόγον.

Athenaeus 10, 423 a *καὶ ἠρίσταμεν δ' εἴρηκεν . . . Θεόπομπος Καλλαίσχρῳ κτλ.* cf. Hermipp. 60.

23

ἰχθύων δὲ δὴ
ὑπογάστρι', ὦ Δάματερ.

Athenaeus 7, 302 e *Θεόπομπος ἐν Καλλαίσχρῳ κτλ. παρατηρητέον ὅτι ἐπὶ ἰχθύων μὲν ὑπογάστριον λέγουσι, σπανίως δ' ἐπὶ χοίρων καὶ τῶν ἄλλων ζῴων.* 9, 399 d *ὑπογάστριον δὲ μόνον ὡς ἐπὶ τῶν ἰχθύων λέγεται. Θεόπομπος Καλλαίσχρῳ κτλ. ὑπογάστρι' ὦ] ὑπογαστριω* (sine accentu) A 399 d. *ὑπογάστριον ὦ* 302 e. *Δάματερ] Δήμητερ* B 302 e. *διαματερ* A 399 d. *ὦ Δάματερ* est admirantis exclamatio, *ὦ Δήμητερ* vocativus. Photius et Suidas *Ἡράκλεις· ἐπίφθεγμα θαυμαστικόν· ὥσπερ τὸ ὦ Δάματερ τοῦ ὦ Δήμητερ διαφέρει.* Eustath. 1385, 53 *τὸ ὦ Δάματερ τὸ θαυμαστόν (θαυμαστικόν), ὃ κεῖται καὶ παρὰ τῷ κωμικῷ* (Aristoph. Plut. 555. 872)

Δωρικὸν μὲν ὄν, φιληθὲν δὲ εἰς κοινὴν χρῆσιν τοῖς Ἀττικοῖς. cf. Lobeck. Phryn. 640.

ΚΑΠΗΛΙΔΕΣ

Καπήλιδες, non *Καπηλίδες*. Herodian. I 91, 8.

24

Λεωτροφίδης ὁ τρίμετρος ὡς λεοντῖνος
εὔχρως τε φάνει καὶ χαρίεις ὥσπερ νεκρός.

Schol. Aristoph. Av. 1406 (*Λεωτροφίδης*) *κοῦφος καὶ χλωρὸς ἦν, ὡς ἐοικέναι ὄρνιθι. Θεόπομπος δὲ ἐν ταῖς Καπήλισι κτλ. ὥσπερ νεκρός* om. R. de *Leotrophide* cf. interpretes Avium. Bergkius R. c. Att. 407 *ὡς Λεόντιος | εὔχρως τεθνάναι τε καὶ κτλ.* quae obscura non minus mihi sunt quam fuere Meinekio. G. Hermannus *Λ. ὁ τρίπεδος, ὡς Λεοντίῳ | εὔχρως πεφάνθαι κτλ.* Herwerdenus Obs. crit. 35. 6 *Λ. ὁ κρουσίμετρος Λεοντίῳ | εὔχρως πέφανται κτλ.* Fritzschius apud Toeppelium Progr. Neobrand. 1857, 20 *Λ. ὁ τρίμετρος ὡς Λεόντιχος | εὔχρως ἐφάνη μοι* (*πέφανται* Toeppelius ipse, qui *τρίμετρον* perverse *pusillum*, *τριχοίνικα* interpretatur). *τρίμετρος* omnino probabilem interpretationem non habet. fundamentum emendationis esse debet quem Bergkius p. 408 attulit Plat. Reip. 4, 439e (*ἤκουσα ὡς*) *Λεόντιος ὁ Ἀγλαΐωνος ἀνιὼν ἐκ Πειραιῶς . . . αἰσθανόμενος νεκροὺς παρὰ τῷ δημίῳ κειμένους ἅμα μὲν ἰδεῖν ἐπιθυμοῖ, ἅμα δ' αὖ δυσχεραίνοι καὶ ἀποτρέποι ἑαυτόν, καὶ τέως μὲν μάχοιτο . . . κρατούμενος δ' οὖν ὑπὸ τῆς ἐπιθυμίας, διελκύσας τοὺς ὀφθαλμούς . . . ἰδοὺ ὑμῖν, ἔφη, ὦ κακοδαίμονες* (*ὀφθαλμοί*), *ἐμπλήσθητε τοῦ καλοῦ θεάματος.* is igitur cadavera et homines cadaverosa facie (Terent. Hecyr. 3, 4, 27) libenter spectare putabatur. cf. Alciphron. 3, 51 extr. iam cum *levitas* simul ac *pallor* teste scholiasta in Leotrophide rideatur, scribendum videtur *Λ. ὁ τρίμνεως Λεοντίῳ | εὔχρως τε φαίνεται χαρίεις θ' ὥσπερ νεκρός.* scilicet sensuum testimonium dubium esse docetur: sic Leotrophidem aliis macilentum et turpem, Leontio pulcherrimum videri utpote mortuorum pallori proximum. *τρίμνεως trium librarum homo,* i. e. levissimus. cf. Lobeck. Phryn. 554 et Phot. *τρίμνων* (scr. *τρίμνεων*)· *γ' μνῶν ἄξιον.*

25

ἐλεφαντοκώπους ξιφομαχαίρας καὶ δόρη

Pollux 7, 158 *ξιφομάχαιρα ἡ μεγάλη μάχαιρα ἐν Θεοπόμπου Καπήλισιν κτλ.* 10, 145 *Θεόπομπος δὲ ἐν Πόλεσιν* (scr. *Καπήλισιν*) *ἐλεφαντοκώπους ξιφομαχαίρας.* ad *δόρη* Pollux adnotavit: *ἔνιοι γὰρ οὕτως εἰρῆσθαι τὰ δόρατά φασιν.* formis qualis est *δόρη* tragici potius

quam comici utebantur. quamquam *σὺν δόρει* etiam Aristophanes. cf. Bergk. R. c. Att. 409.

26

ἢ μετάδος ἢ μέτρησον ἢ τιμὴν λαβέ.

Schol. Aristoph. Acharn. 1021 et Suidas *μέτρησον· τὸ μέτρησον ἀντὶ τοῦ δάνεισον . . . καὶ Θεόπομπος Καπήλισιν κτλ.* '*ἢ* om. R.' Dind., non addens quotum *ἢ* significet. Photius *μετρεῖσθαι· δανείζεσθαι.*

27

κολάσομαί σ' ἐγὼ
καὶ τὸν σὸν Ἄττιν.

Suidas *Ἄττις παρὰ Φρυξὶ μάλιστα τιμᾶται ὡς πρόσπολος τῆς μητρὸς τῶν θεῶν. Ἄττιν, οὐχὶ Ἄττια . . . Θεόπομπος ἐν Καπήλισι κτλ.* Bekker. Anecd. 461, 19 *Ἄττην, οὐχὶ ἄττεια. Θεόπομπος Καπήλισι κτλ. κολάσομαί σ' ἐγὼ* Porson. Toup. Emend. IIII 459] *κολάσομαί γ' ἔσω* Suid. AV. *κολάσομεγ' ἔσω* cod. Bekker. *Ἄττιν*] *ἄττην* cod. Bekk. '*te et amasium tuum*'. Meinek.

28

Zenobius 4, 44 *Ἑστίᾳ θύει· ἡ παροιμία τέτακται ἐπὶ τῶν μηδενὶ ῥᾳδίως μεταδιδόντων. δι' ἔθους γὰρ ἦν τοῖς παλαιοῖς, ὁπότε ἔθυον Ἑστίᾳ, μηδενὶ μεταδιδόναι τῆς θυσίας. μέμνηται ταύτης Θεόπομπος ἐν Καπήλισιν.* cf. Eupol. 281.

Cf. fr. 65. 70.

ΜΗΔΟΣ

Tempus quodammodo definitur fr. 30. Persarum auctoritas discordiis Graecorum post bellum Peloponnesiacum aucta titulo significari videtur.

29

παρ' ἐμοὶ τὰ λίαν μειράκια χαρίζεται
τοῖς ἡλικιώταις.

Schol. Pindar. Pyth. 2, 75 *χαρίζεσθαι γὰρ κυρίως τὸ συνουσιάζειν λέγεται, ὥσπερ Θεόπομπος ἐν Μήδῳ εἰσάγει τὸν Λυκαβηττὸν λέγοντα κτλ. λίαν*] *λεῖα* Bergk. ap. Mein. V CXIX. cf. Plat. 59. 'in Lycabetto fortasse lupanar erat a masculis scortis frequentatum.' Meinek.

30

ὥς ποτ' ἐκήλησεν Καλλίστρατος υἷας Ἀχαιῶν,
κέρμα φίλον διαδούς, ὅτε συμμαχίαν ἐρέεινεν·

οἷον δ' οὐ κήλησε δέμας λεπτὸν Ῥαδάμανθυν,
Λύσανδρον κώθωνα πρὶν αὐτῷ δῶκε λεπαστήν.

Athenaeus 11, 485c *Θεόπομπος . . . ἐν Μήδῳ κτλ.* *διαδούς* Dindorf.] *διδούς* A. *τι διδούς* Musurus. 3. *οἷον* Casaub.] *οἶον* P. 4. *κώθωνα* Bergk. R. c. Att. 240] *κώθωνι.* *Λύσανδρον*] *λυσανίαν* Meinekius conl. Hesych. *λυσανίας· ὁ λύων τὰς ἀνίας*, simul etiam relegans ad C. Rehdantz. Vit. Iphicr. p. 117. *Callistratus* est Aphidnaeus, clarissimus ille orator. Schweighaeuserus existimat conventum eum significari, in quo Callistratus Arcadibus suadebat ut Atheniensium partes sequerentur. cf. Corn. Nep. Epam. 6 cum eis quae Nipperdeius adnotavit. quis Rhadamanthi nomine significetur non constat. *υἷας Ἀχαιῶν* Achivos ipsos, Lysandrum eum qui commemoratur Xen. Hell. 7, 1, 45 sq. interpretatur I. Droysenus. cf. tamen Meinek. V 54. *κώθωνα λεπαστήν*, ut *κύλικα λεπαστήν* Aristoph. Pac. 916. cf. Bergk. R. c. Att. 240. plurima adhuc obscura.

31

Athenaeus 11, 481d *Νίκανδρος ὁ Θυατειρηνὸς* (*κυμβίον*) *τὸ χωρὶς ὤτων* (i. e. quod ansis careat) *ποτήριον ὠνομακέναι Θεόπομπον ἐν Μήδῳ.* cf. M. Haupt Berichte d. sächs. Ges. d. Wissensch. I 412 sq.

ΝΕΜΕΑ

A Nemea meretrice fabulam adpellatam esse arbitratur Meinek. I 241. at ea *Νεμεάς* dicitur Athen. 13, 587c.

32

χώρει σὺ δεῦρο, Θηρικλέους πιστὸν τέκνον·
γενναῖον εἶδος, ὄνομά σοι τί θώμεθα;
ἆρ' εἶ κάτοπτρον φύσεος ἣν πλῆρες δοθῇς·
οὐδέν ποτ' ἄλλο. δεῦρο δή, γεμίσω σ' ἐγώ.
γραῦ Θεολύτη, γραῦ. Β. τί με καλεῖς; Α. σέ, φιλτάτη,
ἵν' ἀσπάσωμαι· δεῦρο παρ' ἐμὲ Θεολύτη,
παρὰ τὸν νέον ξύνδουλον· οὑτωσὶ καλῶς.
Β. Σπινθὴρ τάλας, πειρᾷς με. Α. ναί, τοιοῦτό τι·
φιλοτησίαν δὲ τήνδε σοι προπίομαι·
δέξαι, πιοῦσα δ' ὁπόσον ἄν σοι θυμὸς ᾖ,
παράδος τὸ πρῶτον.

Athenaeus 11, 470f *μνημονεύει δὲ τῆς κύλικος* (*τῆς Θηρικλείου*) *Θεόπομπος μὲν ἐν Νεμέᾳ οὕτως κτλ.* Photius et Suidas *Θηρικλέους τέκνον· κύλιξ, ἣν λέγεται πρῶτος κεραμεῦσαι Θηρικλῆς.* de *Thericle*

et aetate eius cf. Athen. 11, c. 41—44. 2. ὄνομα B] οὔνομα. τί θώμεθα Casaub.] τοθώμεθα A. 3. ἄρ' εἶ (*nonne es*) Coraes et Porson. Arist. Av. 813 p. 180] ἄρει. φύσεος Dindf.] φύσεως. 4. γεμίσω (coni. aor. Elmsl. Eur. Med. 1242) Abresch. Dilucid. Thucyd. 97] γε μισῶ. 5. *A.* add. Iacobs. Addit. Athen. 252. σέ, K.] σύ. φιλτάτη] φίλτατε Porsonus, falso. 6. ἵν' Iacobs.] τίν'. 8. τάλας, πειρᾷς με. ναί Adamus] ταλα σπειραις μεναι A. τάλαν cum Iacobsio Meinek. in Athen. mihi scribendum videtur Σπινθήρ, τί δρᾷς; πειρᾷς με; 9. τήνδε inseruit Meinekius. Bergkius R. c. Att. 411 τοιοῦτό τι | ποιῶ, φιλ. δέ σοι. προπ. προπίομαι VL] προσπίομαι BP. 10. δέξαι BP 'et nisi omnia fallunt A' Dindf. ἥ Casaub.] ἢ P. 11. τὸ πρῶτον] Iacobs. 254 τὸ περιττόν. τὸ ποτήριον Herwerden. Nov. add. crit. 10. 'sequebatur εἶτα.' Meinek. Anal. Athen. 216. sed ipse τὸ λοιπόν. τὸ πεοιόν. K.

incredibile est quod Herwerdenus πιστόν simul a πίνω poetam deduci voluisse opinatur (Aesch. Prom. 480): tamquam poculum bibatur, non vinum. 3. φύσεος, ut Aristoph. Plut. 1044 ὕβρεος. cf. Eubul. 67, 9. 94, 7. 119, 8 et in melicis Aristoph. Vesp. 1282. 1458. Thesm. 465. 4. οὐδέν ποτ' ἄλλο] Strattid. 47, 2. σε] adhuc poculum adloquitur. 6 σὲ ἵνα ἀσπάσωμαι] cf. quae adnotavimus ad Aristoph. Nub. 1447 et Cratin. 276. Theopomp. 62, 5. 7. οὑτωσὶ καλῶς '*belle ita*. iam enim propius accesserat Theolyte. cf. Menand. Etym. m. 407, 22' Meinek. 8. Σπινθήρ (vel potius Σπίνθηρ Lehrs. Aristarch.[2] 291) nomen est 'ad servuli celeritatem indicandam aptissimum'. Meinek. πειρᾷς] Ruhnken. Tim. 210, cuius exemplis addo Aristoph. Plut. 1067. Lys. 1, 12. 9. cf. Alexid. Athen. 11, 502 b.

ΟΔΥΣΣΕΥΣ

Ὀδυσσεῖς Pollux 7, 74, quem verum esse titulum Bergkius iudicat R. c. Att. 413, negat Meinek. I 241 Theopompi fabulam cum Cratinea confundi ratus. cf. titulus Πηνελόπη.

33

χιτῶνά μοι
φέρων δέδωκας δαιδάλεον, ὃν ἤκασεν
ἄρισθ' Ὅμηρος κρομμύου λεπυχάνῳ.

Eustathius 1863, 49 ἰστέον δὲ ὅτι τὸ ῥηθὲν λέπυρον καὶ λεπύχανόν φασιν εἰρῆσθαι παρὰ Θεοπόμπῳ τῷ κωμικῷ, εἰπόντι ὡς ἐκ προσώπου τοῦ Ὀδυσσέως· τό κτλ. quamquam Eustathius fabulam non nominavit, tamen Meinekium recte haec ad Ulixem rettulisse adparet. δαιδάλεον — κρομμύου Meinek.] δαίδαλον — κρομύου. Homeri versus sunt Od. 19, 232. 3. quocum Ulixes conloquatur difficile est dicere: nisi forte scripsit φέρουσ' ἔδωκας.

34

Εὐριπίδου τἄρ' ἐστὶν οὐ κακῶς ἔχον,
τἀλλότρια δειπνεῖν τὸν καλῶς εὐδαίμονα.

Athenaeus 5, 165 b *Θεόπομπος δ' ἐν Ὀδυσσεῖ ἔφη κτλ. τἄρ' ἐστὶν* Meinek.] *τἄριστον. τἀρχαῖον* Porson. *τἄρ' ἴστον* Herwerd. Nov. add. crit. 11 et Mnem. nov. IIII 302. *στ' ἄριστον* '*est ientaculum non contemnendum*'. Bergk. R. c. Att. 412. non credo. *τὸν καλῶς εὐδαίμονα* Aesch. fr. 310 N.

35

ἵνα μὴ τὸ παλαιὸν τοῦτο καὶ θρυλούμενον
δι' ἡμετέρων στομάτων
εἴπω σόφισμ', ὅ φασι παῖδας Λεσβίων
εὑρεῖν.

Schol. Aristoph. Vesp. 1346 *τὸ λεσβιεῖν ἐπὶ τοῦ αἰσχροῦ τάττεται, ἐπειδὴ οἱ Λέσβιοι αἰσχρουργοῦσι τῷ στόματι μολυνόμενοι. παρὰ τὸ ἱστορούμενον, ὅτι παρὰ τοῖς Λεσβίοις τοῦτο πρῶτον γυνὴ ἔπαθε. καὶ παρὰ Θεοπόμπῳ ἐν Ὀδυσσεῖ κτλ. εὑρεῖν* initium esse versus eodem metro compositi quo v. 2 fuit Meinekius monuit.

36

λάσιον ἐπιβεβλημένος

Θεόπομπος δ' ἐν Ὀδυσσεῦσιν (*Ὀδυσσεῖ*) *ἐπὶ διακόνου ἔφη* Pollux 7, 74. Erotianus 93, 4 Klein. *λάσιον· ὀθόνιον, ὡς Θεόπομπος ἐν Ὀδυσσεῖ. καὶ Ἀρτεμίδωρος ὁ γραμματικὸς ἐν ταῖς λέξεσί φησι λινοῦν ὕφος δασὺ εἶναι.* (*Ὀδυσσεῖ* Meinek., *ὀδυσσεία* AC, *ὀδυσεία* B.)

Ad Ulixem fr. 73 refert Meinekius.

ΠΑΙΔΕΣ

Prioribus Theopompi fabulis adnumeranda est propter fr. 39. Meinek. I 237. 241. ad Ol. 91 vel 92 refert Bergk. R. c. Att. 415. 6, qui chorum compositum fuisse suspicatur ex senibus decrepitis iuventutem recuperantibus, coniectura admodum incerta.

37

τηνδὶ περιζωσάμενος ᾤαν λουτρίδα
κατάδεσμον ἥβης προπέτασον.

Pollux 7, 66 *τὸ δὲ περὶ τοῖς αἰδοίοις οὐ μόνον γυναικῶν ἀλλὰ καὶ ἀνδρῶν, ὁπότε σὺν ταῖς γυναιξὶ λούοιντο, ᾤαν λουτρίδα ἔοικε Θεόπομπος ὁ κωμικὸς ἐν Παισὶ καλεῖν εἰπὼν κτλ.* et 10, 181 *τὸ μέντοι δέρμα, ᾧ ὑποζώννυνται αἱ γυναῖκες λουόμεναι ἢ οἱ λοῦντες*

αὐτάς, ᾤαν λουτρίδα ἔξεστι καλεῖν, Θεοπόμπου εἰπόντος ἐν Παισί κτλ. προπέτασον (ἥβης) K.] περιπέτασον. cf. Pherecr. 62. recte Pollux κατάδεσμον interpretatur, falso Bergkius R. c. Att. 413. 4 de magico nescio quo remedio cogitat, quo senes iuventutem recuperent.

38

πάντ' ἀγαθὰ δὴ γέγονεν ἀνδράσιν ἐμῆς ἀπὸ συνουσίας.

Hephaestio 13, 9 τούτῳ (τῷ τρόπῳ, ut primi pedes sint paeones, ultimus creticus) καὶ ἐπὶ τοῦ πενταμέτρου Θεόπομπος ὁ κωμικὸς ἐχρήσατο ἐν Παισίν, ἀφ' οὗ καὶ Θεοπόμπειον καλεῖται κτλ. de se loqui videtur poeta in epirrhemate, quale est Aristoph. Vesp. 1275 sq., ac recte Bergkius R. c. Att. 416. 7 non primam Παῖδας fuisse Theopompi fabulam ex his ipsis verbis conligit.

39

Schol. Aristoph. Av. 1569 ἔχει δὲ (Λαισποδίας) καὶ περὶ τὰς κνήμας αἰτίας τινάς, ὥς φησι Στράττις ἐν Κινησίᾳ (16). διὸ καὶ κατὰ σκελῶν ἐφόρει τὸ ἱμάτιον, ὡς Θεόπομπος ἐν Παισί. cf. Eupol. 102.

Fr. 69 coniectura admodum incerta ad Παῖδας refert Bergkius R. c. Att. 414.

ΠΑΜΦΙΛΗ

Nomen videtur esse meretricis.

40

σπόγγος, λεκάνη, πτερόν, λεπαστὴ πάνυ πυκνή,
ἣν ἐκπιοῦσ' ἄκρατον ἀγαθοῦ δαίμονος
τέττιξ κελαδεῖ.

Athenaeus 11, 485 b Θεόπομπος Παμφίλῃ κτλ. πυκνή, ἣν ex fr. 41 Schweighaeus.] πυκνὴν. cf. fr. 76. Aristoph. Eq. 85. 106. Vesp. 525. Pac. 300. τέττιξ κελαδεῖ '*garrit ut cicada*'. Cratin. 52.

41

λεπαστὴ μάλα συχνή,
ἣν ἐκπιοῦσ' ἄκρατον ἀγαθοῦ δαίμονος
περίστατον βοῶσα τὴν κώμην ποιεῖ.

Athenaeus 11, 485 e Θεόπομπος Παμφίλῃ κτλ. λεπαστὴ — συχνὴ A] λεπαστῇ — συχνῇ. 2. ἣν Schweighaeus.] ἦν P. 3. περίστατον Dindf.] περιστατὸν. ποιεῖ] ποεῖ A. συχνή, ut Antiphan. 97 πάνυ συχνὴ σφύραινα. recte Schweighaeuserus hos versus ex altera eiusdem fabulae editione paullulum inmutata depromptos esse censuit.

42

αὐτὴ δ' ἐκείνη πρότερον ἐξηπίστατο
παρὰ τῆς ἐπιτηθῆς.

Etymol. m. 366, 11 *ἐπιτηθή· ἡ τῆς τηθῆς μήτηρ. Θεόπομπος Παμφίλῃ κτλ. ἐξηπίστατο*] *ἐξεπίστατο* cod. Milleri (Mélanges 123), qui praeterea *Θεόποπτος*. Bekker. Anecd. 254, 10 *ἐπιτήθη· ἡ μήτηρ τῆς μάμμης.* ac sic etiam *τήθη* Herodian. I 311, 30.

43

τούτων ἁπάντων ὁ ῥαχιστὴς Δημοφῶν

Photius et Suidas *ῥαχίζειν τὸ ἀλαζονεύεσθαι, καὶ ῥαχιστὴς ὁ ἀλαζών. Θεόπομπος Παμφίλῃ κτλ.* Hesych. *ῥαχιστήρ· ψεύστης, ἀλαζών. μεγαλουργός, μεγάλα κακουργῶν, μεγάλα ψευδόμενος.* *Demophon* fortasse idem est qui Ephipp. 16 commemoratur. nam ab eo quidem, cui Demosthenis pater rem familiarem tradiderat, diversus videtur esse. Demosth. 27, 4—49. 28, 14—19.

44

σανδάλια

Θεόπομπος ὁ κωμικὸς ἐν Παμφίλῃ εἴρηκεν, ἀλλ' ἐπὶ γυναικός. Pollux 10, 49.

Ad Pamphilam Meinekius refert fr. 76.

ΠΑΝΤΑΛΕΩΝ

Plures commemorantur Pantaleontes, unus *ὀψοποιικῶν συγγραμμάτων* auctor, Poll. 6, 70, alter Cleagorae f. Aeschin. 1, 156 (*Παντολέοντα* Turic.), et planus ille famosissimus Athen. 14, 616 a b. Lys. *πρὸς Πανταλέοντα.* Meinek. I 241. Lys. 10, 4 sq. fr. 201. 2 Turic. hunc postremum significari censent Meinekius et Bergk. Epist. ad Schiller. 136 sq. de auctore comoediae antiquitus dubitatum esse docet Pollux 10, 41 (fr. 45).

45

Pollux 10, 41 *εἰ δὲ καὶ τὸ κνέφαλλον μὴ ἐπὶ τοῦ τυλείου τις ἀκούειν βούλοιτο, ὥσπερ ἡ πολλὴ χρῆσις ἔχει, ἀλλ' ἐπὶ τοῦ ἐμβαλλομένου πληρώματος, ὃ γνάφαλον καλοῦσι, προσχρήσεται τῷ ῥηθέντι ἐν Πανταλέοντι Θεοπόμπου, εἰ καὶ ἀμφισβητεῖται τὸ δρᾶμα. προειπὼν γὰρ ὁ ποιητὴς ὠνεῖτο δέρμα θηρός, ἐπήγαγε ῥάψας ὅλον κνεφάλλων ἔσαξεν.* ita Hemsterhusius pro vulgato *ὠνητιῶν δέρμα τοῦ θηρός* ex codicibus, qui cetera ita exhibent: *ῥάψας ὅλον κνέφαλον σάξαι γναφάλῳ.* Aldus *προειπὼν γὰρ ὁ ποιητὴς ὠνητιῶν τὸ δέρμα τοῦτο, ἐπήγαγε ῥάψας ὅλον κνέφαλον.* Bentleius: *ὠνητιῶν τὸ δέρμα τοῦ θηρός,* et *ῥάψας ὅλον σάξαι κνεφάλῳ.* ut supra scripsi-

mus, Bergkius Epist. Schiller. 137. ante Bergkium *ὤνητο — τοῦ θηρός — σάξαι κνεφάλῳ* (*γναφάλωι* C). videntur versus esse Anacreontei *ὠνεῖτο θέρμα θηρός* | . . . | *ῥάψας ὅλον κνεφάλλων* | *ἔσαξεν.*

46

σπηλάδιον

Θεόπομπος ἐν Πανταλέοντι εἴρηκεν. Pollux 9, 16. Eustathius 1552, 31 *ὅτι δὲ ὥσπερ σπηλαίου καὶ προσκεφαλαίου καὶ τυχαίου ὑποκοριστικὰ σπηλάδιον προσκεφαλάδιον τυχάδιον, οὕτω καὶ ἐλαίου ἐλάδιον, δηλοῦσιν οἱ τεχνικοί.* cf. Etymol. m. 240 in. Herodian. II 488, 12. 583, 11.

ΠΗΝΕΛΟΠΗ

Quamquam de argumento non constat (Meinek. I 241), fragmenta non inepte ad procorum insolentiam et vota a Penelope pro Ulixis reditu concepta referuntur.

47

καί σε τῇ νουμηνίᾳ
ἀγαλματίοις ἀγαλοῦμεν ἀεὶ καὶ δάφνῃ.

Bekker. Anecd. 328, 28 *Θεόπομπος Πηνελόπῃ κτλ.* cod. *τον νουμηνία* et *πηνελόπῳ.* prima luna Athenienses in arcem adscendere precesque facere solebant. Aristoph. Pac. 396 sq. Schoemann. Ant. gr.[2] II 422 n. 3. deum aliquem nescio quis adloquitur.

48

καὶ τὴν ἱερὰν σφάττουσιν ἡμῶν δέλφακα.

Athenaeus 14, 657a *θηλυκῶς* (*τὴν δέλφακα*) . . . *Θεόπομπος Πηνελόπῃ κτλ. σφάττουσιν ἡμῶν* Iacobs. Addit. Ath. 344] *ἡμῶν σφάττουσιν* A. procorum *ἀσέβεια* indicari videtur.

49

Athenaeus 4, 183e *μνημονεύει δὲ τοῦ τριγάνου τούτου* . . . *Θεόπομπος ἐν Πηνελόπῃ.* cf. Pherecr. 42.

ΣΕΙΡΗΝΕΣ

Meinek. I 242. cantus Sirenis alicuius inrideri videtur fr. 50.

50

αὐλεῖ γὰρ σαπρὰ
αὕτη γε κρούμαθ' οἷα τἀπὶ Χαριξένης.

Etymol. m. 367, 22 *ἐπὶ Χαριξένης· αὐλητρὶς ἡ Χαριξένη ἀρχαία καὶ ποιήτρια κρουμάτων. Θεόπομπος Σειρῆσιν κτλ. κρούμαθ' οἷα τἀπὶ* Meinek.] *κρουμάτια τὰ ἐπί.* Cobetus Obs. crit. Plat. 20 *κρουμάτι' ἅττα.* at pronomine comparativo (*οἷα*) carere vix possumus. perperam igitur Cobetum praedicat Herwerdenus Nov. add. crit. 16. cf. Cratin. 146.

51

θύννων τε λευκῶν Σικελικῶν ὑπήτρια

Athenaeus 9, 399 d *ἐν δὲ Σειρῆσιν ὑπήτρια καλεῖ* (*Θεόπομπος*) *τὰ ὑπογάστρια λέγων οὕτως κτλ.*

52

ὑποδοῦ λαβὼν τὰς περιβαρίδας.

Schol. Aristoph. Lysistr. 45 et Suidas *περιβαρίδες· ὑποδήματος εἶδος αἱ περιβαρίδες, ὡς Θεόπομπος ἐν Σειρῆσιν κτλ.* *λαβὼν* om. Barocc. *ὑποδοῦ*] *ὑπόδου* Suid. BV, *ὑπὸ σοῦ* reliqui. Theopompi verba om. Suid. A. Cobetus N. l. 144 *ὑποδοῦ λαβὼν τασδὶ περιβαρίδας* *(⏑ –). Aristoph. Vesp. 1158 nunc recte scribitur *τασδὶ δ' ἀνύσας ὑποδοῦ τι τὰς Λακωνικάς.* ac sic fortasse Theopompus *ὑποδοῦ λαβὼν ἀ ν ύ σ α ς τι τὰς περιβαρίδας.*

53

φρυγεύς, θυΐα, λήκυθος·

Pollux 7, 181 *φρυγεύς, ἀγγεῖον ὅπου ἐπέφρυγον. Θεόπομπος ἐν Σειρῆσι κτλ.* idem 10, 109 *τὸν δὲ φρυγέα ὡς σκεῦος μαγειρικόν, εἴτε τὸ ἀγγεῖον ἐν ᾧ ἔφρυγον, εἴτε τὸ φρύγετρον, ὁ κωμικὸς Θεόπομπος ἐν Σειρῆσιν ὑποδηλοῖ.*

ΣΤΡΑΤΙΩΤΙΔΕΣ

Meinek. I 242. postquam Aristophanes mulierum choros Thesmophoria celebrantium, contionantium, pacem componentium fecerat, supererat ut etiam militantes feminae in orchestram inducerentur. idque Theopompum hac fabula fecisse docent fr. 54—56.

54

ἐγὼ γὰρ ἂν κώθωνος ἐκ στρεψαύχενος
πίοιμι τὸν τράχηλον ἀνακεκλασμένη;

Ataenaeus 11, 483 e *μνημονεύει* (*τοῦ κώθωνος*) . . . *Θεόπομπος Στρατιώτισιν κτλ.* *γὰρ ἂν* Liebelius Archil. 143] *γάρ.* *πίοιμι τὸν* Schweighaeus.] *ποιμαντὸν* (i. e. *πίοιμ' ἂν τὸν*) A. *ἀνακεκλασμένη* C] *ἀνακεκλασμένης* P. ʻcollum erat reflectendum propter

cothonis ἄμβωνας.' Dobr. Advers. II 333. recte in interrogatione sententiam posuit Iacobs. Addit. 261: negat enim cum indignatione mulier se mores victumque militum secuturam.

55

καίτοι τίς οὐκ ἂν οἶκος εὖ πράττοι τετρωβολίζων,
εἰ νῦν γε διώβολον φέρων ἀνὴρ τρέφει γυναῖκα;

Pollux 9, 64 *παρὰ Θεοπόμπῳ ἐν Στρατιώτισι τὸ τετρώβολον λαμβάνειν τετρωβολίζειν ὠνόμασται κτλ.* οἶκος Fritzschius De merc. iud. 19] *εἰκός. νῦν γε*] *νῦν* Dindorf. *νῦν γ' ἀνὴρ διώβ.* Pors. Hec. praef. XLV. *φέρων — τρέφει* Kuehnius] *φέρει — τρέφειν*, quod non recte retinet Porsonus. neque enim ideo vir mercedem accipit ut alat mulierem: nam accipit etiam qui uxorem non habet. — excerpta haec sunt ex syntagmate iambico, in quo de mulieribus in militum numerum recipiendis certabatur; commendat rem quisquis loquitur, reditus familiae duplicari dicens, si cum viro femina quoque mercedem militarem accipiat. ea enim significatur, non iudicum, ut falso etiam Wachsmuthius in Mus. Rhen. XXXIIII 161 sq. cf. quae contra eum in vol. XXXV disputavi. erat autem non semper eadem: plerumque tamen duorum obolorum videtur fuisse. Boeckh. Oecon. Athen.[2] I 168. 378. ceterum cf. Aristoph. Eq. 798.

56

ἡ Θρασυμάχου δ' ὑμῶν γυνὴ καλῶς ἐπιστατήσει.

Priscianus 18, 213 *Attici ἐπιστατήσει ὑμῶν καὶ ὑμῖν. Θεόπομπος Στρατιώτισιν κτλ.* *δ'* inseruit Meinek. reliquas varietates quae nihil ad rem faciunt, recenset Hertzius. *Thrasymachum* Meinekius dici putat Chalcedonium. mihi nomen tantummodo boni ominis causa delectum videtur.

57

Schol. Platon. 330 Bekk. *Θεόπομπος δὲ Στρατιώτισιν Ἐμβαδᾶν (Ἄνυτον) εἶπε παρὰ τὰς ἐμβάδας, ἐπεὶ καὶ Ἄρχιππος Ἰχθύσιν εἰς σκυτέα αὐτὸν σκώπτει.* Ἐμβαδᾶν Meinek. ed. min XIV] *Ἐμβάδαν.* *Anylus* est Socratis accusator.

58

σκληφρός

ὃν καὶ νεοειδῆ ἂν εἴποις. Θεόπομπος δὲ ὁ κωμικὸς ἐπὶ γυναικὸς εἴρηκεν αὐτὸ ἐν Στρατιώτισιν. Pollux 2, 10. *σκληφρός* est *gracilis.*

ΤΙΣΑΜΕΝΟΣ

Intellegendus videtur filius Mechanionis, auctor plebisciti, ut eversa triginta tyrannorum dominatione Solonis leges restitueren-

tur. Andocid. 1, 83. Lys. 30, 28. Meinekius eundem esse arbitratur, quem cum Phaenippo coniungit Aristoph. Ach. 603.

59

ἀλλ' ἡ μὲν Εἰλείθυια συγγνώμην ἔχει
ὑπὸ τῶν γυναικῶν οὖσα καταπλὴξ τὴν τέχνην.

Harpocratio 107. 8 *καταπλήξ· ὁ συνεχῶς πεπληγμένος . . . Θεόπομπος Τισαμενῷ κτλ.* eadem Photius et Suidas *καταπλήξ*, omisso fabulae nomine. quid sit *καταπλὴξ τὴν τέχνην* nemo facile dixerit, praeter Bernhardyum scilicet, qui Aristophanis versu Eccl. 385 (*δεινός ἐστι τὴν τέχνην*) satis id defendi opinatur. mihi Theopompus hoc fere videtur dixisse: Lucina, si non potest omnibus parturientibus adesse, facile veniam inveniet, cum tot mulieres eodem tempore opem eius inplorantes *aures* ei *obtundant*. *συγγνώμην ἔχειν* enim non solum est *veniam dare*, sed etiam *accipere*. Sophocl. Trach. 328. Eurip. Phoen. 995. itaque scribendum *ὑπὸ τ. γ. τῶ τα καταπλὴξ γενομένη*. de crasi cf. Aristoph. Av. 105. Nub. 92. non recte Toupius I 318 *τῶν λεχῶν* pro *τὴν τέχνην* (a *λεχώ*), putans Dianam orari ut ignoscat *ὅτι διεκορήθησαν*. at tum Diana orari poterat, non item Ilithyia.

60

τὸν δὲ Μύσιον
'Ακέστορ' ἀναπέπεικεν ἀκολουθεῖν ἅμα.

Schol. Aristoph. Vesp. 1221 *τὸν 'Ακέστορα ξένον κωμῳδοῦσι τὸν τραγικόν, ὃς ἐκαλεῖτο Σάκας. Θεόπομπος Τισαμενῷ οὐ κοινῶς ξένον ἀλλὰ Μυσόν κτλ.* Schol. Av. 31 *ἐκαλεῖτο δὲ Σάκας . . . Θεόπομπος δὲ καὶ τὸν πατέρα αὐτοῦ Σάκαν προσηγόρευσεν Τισαμενῷ. ὁ δὲ αὐτὸς καὶ Μυσὸν ἐκάλεσεν.* cf. interpret. Aristoph. Av. 31.

61

ὀλόλους

τοὺς δεισιδαίμονας ἐκάλουν οἰωνιζόμενοι. Θεόπομπος Τισαμενῷ. Photius.

ΦΙΝΕΥΣ

62

παῦσαι κυβεύων, μειράκιον, καὶ τοῖς βλίτοις
διαχρῶ τὸ λοιπόν. κοιλίαν σκληρὰν ἔχεις,
τὰ πετραῖα τῶν ἰχθυδίων ἀπέσθιε.
ἡ τρὺξ ἄριστόν ἐστιν εἰς εὐβουλίαν.
ταῦτ' ἢν ποιῇς, ῥᾴων ἔσει τὴν οὐσίαν.

Athenaeus 14, 649 b ἀλλ' οὐκ ἐσθίειν σε προσέταξα, ἀλλὰ μὴ ἐσθίειν. τὸ γὰρ ἀπεσθίειν οὕτως εἴρηκεν ἐν Φινεῖ ὁ κωμῳδιοποιὸς Θεόπομπος κτλ. Eustath. 1573, 27 ἀπεσθίειν καὶ τὸ μὴ ἐσθίειν, οἷον· τοῖς βλίτοις διαχρῶ. τὴν κοιλίαν — ἀπέσθιε. 2. σκληρὰν] ξηρὰν Eustath. 5. ταῦτ' ἢν ποιῇς Scaliger apud Grotium] ταύτην ποης A. perperam Scaliger in v. 4 εὐκοιλίαν pro εὐβουλίαν, non intellegens ridicule παρ' ὑπόνοιαν dici εὐβουλίαν, ut v. 5 τὴν οὐσίαν *(rem familiarem)* pro τὴν ὑγίειαν vel τὴν κοιλίαν. ante versum 1 excidit πρότασις. versus ultimus medicorum praecepta imitatur. sic Hippocr. De affect. Lind. II 212 (attulit Meinekius) ταῦτα ἢν ποιέῃ, ῥήιον οἴσει τὴν νοῦσον. *vetustiores* medici *piscibus saxatilibus* sisti potius quam laxari alvum credebant.

ΑΔΗΛΩΝ ΔΡΑΜΑΤΩΝ

63

ὥς μοι δοκεῖν
εἶναι τὸ πρόθυρον τοῦτο βασανιστήριον,
τὴν δ' οἰκίαν ζητρεῖον ἢ κακὸν μέγα.

Etymol. m. 411, 33 ζήτρειον· σημαίνει τὸ τῶν δούλων δεσμωτήριον, ἤγουν τὸν μύλωνα, παρὰ Χίοις [καὶ Ἀχαιοῖς]· ἐκεῖ γὰρ ἐδεσμεύοντο οἱ δοῦλοι . . . Θεόπομπος κτλ. ὥς μοι] ὥσσοι M. ζήτρειον, cf. Eupol. 348. καὶ Ἀχαιοῖς recte eiecit Herwerdenus Obs. crit. 36, simul ὥστε μοι δοκεῖν scribens. κακὸν μέγα quod magnopere languet fortasse in βάραθρον μέγα mutandum est.

64

ἐπίνομεν μετὰ ταῦτα . . . .
κατακείμενοι μαλακώτατ' ἐπὶ τρικλινίῳ
Τελαμῶνος οἰμώζοντες ἀλλήλοις μέλη.

Athenaeus I 23 e Θεόπομπος κτλ. μετὰ ταῦτ' ἐπίνομεν Toup. Append. Theocr. 15, 98 p. 28 sine ulla necessitate. τὴν ἐπιδέξια supplet Toeppelius Progr. Neobr. 1867 p. 5 conl. Eupol. 325. de *Telamonis* cantico cf. Athen. 15, 695 c. Aristoph. fr. 706. pro οἰμώζοντες Herwerdenus Stud. crit. 28 αἰάζοντες, quoniam scolium ipsum est παῖ Τελαμῶνος Αἶαν αἰχμητά, λέγουσί σε ἐς Τροΐαν ἄριστον ἐλθεῖν Δαναῶν μετ' Ἀχιλλέα. mihi sententia postulare videtur ut scribatur Τελαμῶνος οἰμώζοντες ἀλλήλους μέλει. nam imitationem manifestam mihi videor deprehendere Aristoph. Ach. 69 — 75.

65

Plutarchus Lysandr. 13 ἀλλὰ καὶ ὁ κωμικὸς Θεόπομπος ἔοικε

ληρεῖν ἀπεικάζων τοὺς Λακεδαιμονίους ταῖς καπήλισιν ὅτι τοὺς Ἕλληνας ἥδιστον ποτὸν τῆς ἐλευθερίας γεύσαντες ὄξος ἐνέχεαν. cf. Theodor. Met. Misc. p. 792, qui perperam comparationem istam Theopompo rerum scriptori tribuit. Meinekius τοὺς Ἕλληνας ἥδιστον ποτὸν | ἐλευθερίας γεύσαντες ὄξος ἐνέχεαν. Porson. Advers. 266 Lips. Λακεδαιμόνιοι δὲ ταῖς καπήλισιν | εἴξασ', ὅτι κτλ. poeta videtur scripsisse Λακεδαιμόνιοι δ' εἴξασι ταῖς καπήλισιν· | ἐλευθερίας Ἕλληνας ἥδιστον ποτὸν | γεύσαντες ὄξος ἐνέχεον (ποῖον δοκεῖς;). ad Pacem referebat Meinek. I 240. quidni ad Καπηλίδας? cf. C. Th. Muelleri Fragm. hist. gr. I 333.

66

ἄφωνος ἐγένετο,
ἔπειτα μέντοι πάλιν ἀνηνέχθη.

